Ποσειδῶνός τε ὢν κατὰ τὸν τῶν ποιητῶν λόγον καὶ Ἰάσονι ἐς Κόλχους τοῦ πλοῦ μετεσχηκώς· οὗτος δὲ καὶ τῇ συνωρίδι ὁ νικῶν ἐστίν. 10 οἱ δὲ ἀποτετολμηκότες πυκτεύειν Ἄδμητος καὶ Μόψος ἐστὶν ὁ Ἄμπυκος· ἐν μέσῳ δὲ αὐτῶν ἀνὴρ ἑστηκὼς ἐπαυλεῖ, καθότι καὶ ἐφ' ἡμῶν ἐπὶ τῷ ἅλματι αὐλεῖν τῶν πεντάθλων νομίζουσιν. Ἰάσονι δὲ καὶ Πηλεῖ τὸ ἔργον τῆς πάλης ἐξ ἴσου καθέστηκε. πεποίηται δὲ καὶ Εὐρυβώτας ἀφιεὶς δίσκον, ὅστις δὴ οὗτός ἐστιν ἐπὶ δίσκῳ φήμην ἔχων. οἱ δ' ἐς ἅμιλλαν δρόμου καθεστηκότες Μελανίων ἐστὶ καὶ Νεοθεὺς καὶ Φαλαρεύς, τέταρτος δὲ Ἀργεῖος καὶ Ἴφικλος πέμπτος· τούτῳ δὲ νικῶντι ὀρέγει τὸν στέφανον ὁ Ἄκαστος· εἴη δ' ἂν ὁ Πρωτεσιλάου πατὴρ τοῦ στρατεύσαντος ἐς Ἴλιον. 11 Κεῖνται δὲ καὶ τρίποδες, ἆθλα δὴ τοῖς νικῶσι, καὶ θυγατέρες εἰσὶν αἱ Πελίου· τὸ δὲ ὄνομα ἐπὶ τῇ Ἀλκήστιδι γέγραπται μόνῃ. Ἰόλαος δέ, ὃς ἐθελοντὴς μετεῖχεν Ἡρακλεῖ τῶν ἔργων, ἔστιν ἵππων ἅρματι ἀνῃρημένος νίκην. Τὸ δὲ ἀπὸ τούτου ἀγὼν μὲν ὁ ἐπὶ Πελίᾳ πέπαυται, τὴν ὕδραν δέ, τὸ ἐν τῷ ποταμῷ τῇ Ἀμυμώνῃ θηρίον, Ἡρακλεῖ τοξεύοντι Ἀθηνᾶ παρέστηκεν· ἅτε δὲ τοῦ Ἡρακλέους ὄντος οὐκ ἀγνώστου τοῦ τε ἄθλου χάριν καὶ ἐπὶ τῷ σχήματι, τὸ ὄνομα οὐκ ἔστιν ἐπ' αὐτῷ γεγραμμένον. Φινεύς τε ὁ Θρᾷξ ἐστί, καὶ οἱ παῖδες οἱ Βορέου τὰς Ἁρπυίας ἀπ' αὐτοῦ διώκουσιν.

«(ιη' 1) Τῆς χώρας δὲ ἐπὶ τῇ λάρνακι τῆς δευτέρας ἐξ ἀριστερῶν μὲν γίνοιτο ἂν ἡ ἀρχὴ τῆς περιόδου, πεποίηται δὲ γυνὴ παῖδα λευκὸν καθεύδοντα ἀνέχουσα τῇ δεξιᾷ χειρί, τῇ δὲ ἑτέρᾳ μέλανα ἔχει παῖδα τῷ καθεύδοντι ἐοικότα, ἀμφοτέρους διεστραμμένους τοὺς πόδας. δηλοῖ μὲν δὴ καὶ τὰ ἐπιγράμματα, συνεῖναι δὲ καὶ ἄνευ τῶν ἐπιγραμμάτων ἔστι, Θάνατόν τε εἶναι σφᾶς καὶ Ὕπνον, καὶ ἀμφοτέροις Νύκτα αὐτοῖς τροφόν. 2 γυνὴ δὲ εὐειδὴς γυναῖκα αἰσχρὰν κομίζουσα, καὶ τῇ μὲν ἀπάγχουσα αὐτήν, τῇ δὲ ῥάβδῳ παίουσα, Δίκη ταῦτα Ἀδικίαν δρῶσά ἐστι. Δύο δὲ ἄλλας γυναῖκας ἐς ὅλμους καθικνουμένας ὑπέροις, φάρμακα εἰδέναι σφᾶς νομίζουσιν, ἐπεὶ ἄλλως γε οὐδὲν ἐς αὐτάς ἐστιν ἐπίγραμμα. τὰ δὲ ἐς τὸν ἄνδρα τε καὶ γυναῖκα ἑπομένην αὐτῷ τὰ ἔπη δηλοῖ τὰ ἑξάμετρα· λέγει γὰρ δὴ οὕτως,

Ἴδας Μάρπησσαν καλλίσφυρον, ἅν οἱ Ἀπόλλων
ἅρπασε, τὰν ἐκ ναοῦ πάλιν ἄγει οὐκ ἀέκουσαν.

3 χιτῶνα δὲ ἐνδεδυκὼς ἀνὴρ τῇ μὲν δεξιᾷ κύλικα, τῇ δὲ ἔχων ἐστὶν

ὅρμον, λαμβάνεται δὲ αὐτῶν Ἀλκμήνη· πεποίηται δὲ ἐς τὸν λόγον τῶν Ἑλλήνων ὡς συγγένοιτο Ἀλκμήνῃ Ζεὺς Ἀμφιτρύωνι εἰκασθείς. Μενέλαος δὲ θώρακά τε ἐνδεδυκὼς καὶ ἔχων ξίφος ἔπεισιν Ἑλένην ἀποκτεῖναι, δῆλα ὡς ἁλισκομένης Ἰλίου. Μηδείας δὲ ἐπὶ θρόνου καθημένης Ἰάσων ἐν δεξιᾷ, τῇ δὲ Ἀφροδίτη παρέστηκε· γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτοῖς,

Μήδειαν Ἰάσων γαμέει, κέλεται δ' Ἀφροδίτα.

4 πεποίηνται δὲ καὶ ᾄδουσαι Μοῦσαι καὶ Ἀπόλλων ἐξάρχων τῆς ᾠδῆς· καί σφισιν ἐπίγραμμα γέγραπται·

Λατοΐδας οὗτος τάχ' ἄναξ ἑκάεργος Ἀπόλλων·
Μοῦσαι δ' ἀμφ' αὐτόν, χαρίεις χορός, αἷσι κατάρχει.

Ἄτλας δὲ ἐπὶ μὲν τῶν ὤμων κατὰ τὰ λεγόμενα οὐρανόν τε ἀνέχει καὶ γῆν, φέρει δὲ καὶ τὰ Ἑσπερίδων μῆλα. ὅστις δέ ἐστιν ὁ ἀνὴρ ὁ ἔχων τὸ ξίφος καὶ [ὁ] ἐπὶ τὸν Ἄτλαντα ἐρχόμενος, ἰδίᾳ μὲν ἐπ' αὐτῷ γεγραμμένον ἐστὶν οὐδέν, δῆλα δὲ ἐς ἅπαντας Ἡρακλέα εἶναι. γέγραπται δὲ καὶ ἐπὶ τούτοις·

Ἄτλας οὐρανὸν οὗτος ἔχει, τὰ δὲ μῆλα μεθήσει.

5 ἔστι δὲ καὶ Ἄρης ὅπλα ἐνδεδυκώς, Ἀφροδίτην ἄγων· ἐπίγραμμα δὲ Ἐνυάλιός ἐστιν αὐτῷ. πεποίηται δὲ καὶ Θέτις παρθένος, λαμβάνεται δὲ αὐτῆς Πηλεύς, καὶ ἀπὸ τῆς χειρὸς τῆς Θέτιδος ὄφις ἐπὶ τὸν Πηλέα ἐστὶν ὁρμῶν. αἱ δὲ ἀδελφαὶ Μεδούσης ἔχουσαι πτερὰ πετόμενον Περσέα εἰσὶ διώκουσαι· τὸ δὲ ὄνομα ἐπὶ τῷ Περσεῖ γέγραπται μόνῳ.

«6 Στρατιωτικὰ δὲ ἐπὶ τῇ τρίτῃ χώρᾳ τῆς λάρνακος· τὸ μὲν πολύ εἰσιν ἐν αὐτοῖς οἱ πεζοί, πεποίηνται δὲ καὶ ἐπὶ συνωρίδων ἱππεῖς. ἐπὶ δὲ τοῖς στρατιώταις ἔστιν εἰκάζειν συνιέναι μὲν σφᾶς ἐς μάχην, συνιέναι δὲ καὶ ἀσπασομένους τε καὶ ἀναγνωριοῦντας ἀλλήλους. Λέγεται δὲ καὶ ἐς ἀμφότερα ὑπὸ τῶν ἐξηγητῶν, καὶ τοῖς μέν ἐστιν εἰρημένον Αἰτωλοὺς τοὺς μετὰ Ὀξύλου καὶ Ἠλείους εἶναι τοὺς ἀρχαίους, ἀπαντᾶν δὲ σφᾶς γένους τε μνήμῃ τοῦ ἐξ ἀρχῆς καὶ εὔνοιαν ἐνδεικνυμένους ἐς ἀλλήλους, οἱ δὲ συνιέναι φασὶν ἐς ἀγῶνα τὰ στρατιωτικά, Πυλίους δὲ εἶναι καὶ Ἀρκάδας παρά τε Φειὰν πόλιν καὶ ποταμὸν

μαχομένους Ἰάρδανον. 7 Ταῦτα μὲν δὴ οὐδὲ ἀρχὴν ἀποδέξαιτο ἄν τις, ὡς ὁ τοῦ Κυψέλου πρόγονος Κορίνθιός τε ὢν καὶ τὴν λάρνακα αὐτῷ ποιούμενος κτῆμα, ὁπόσα μὲν Κορινθίοις ἦν ἐπιχώρια, ἑκὼν ὑπερέβαινεν, ἃ δὲ ξενικά τε καὶ οὐδὲ ἄλλως ἥκοντα ἐς δόξαν, ἐτεχνᾶτο ἐπὶ τῇ λάρνακι· αὐτῷ μέντοι παρίστατο ἐμοὶ ταῦτα εἰκάζειν. Κυψέλῳ καὶ τοῖς προγόνοις ἐκ Γονούσσης ἦν γένος ἐξ ἀρχῆς τῆς ὑπὲρ Σικυῶνος, καὶ πρόγονός σφισιν ἦν Μέλας ὁ Ἀντάσου· 8 Μέλανα δὲ καὶ τὸν σὺν αὐτῷ στρατὸν κατὰ τὰ προειρημένα μοι καὶ ἐν τῇ Κορινθίᾳ συγγραφῇ οὐκ ἤθελεν Ἀλήτης συνοίκους δέξασθαι, γεγονός οἱ μάντευμα ἐκ Δελφῶν ὑφορώμενος, ἐς ὃ θεραπείᾳ τε τῇ πάσῃ χρώμενον Μέλανα καὶ ὁπότε ἀπελασθείη σὺν δεήσει ἐπανιόντα αὖθις ἐδέξατο καὶ ἄκων Ἀλήτης. τοῦτο δὲ τὸ στρατιωτικὸν τεκμαίροιτο ἄν τις τοὺς ἐπὶ τῇ λάρνακι εἰργασμένους εἶναι.

«(ιθ' 1) Τέταρτα δὲ ἐπὶ τῇ λάρνακι ἐξ ἀριστερᾶς περιιόντι Βορέας ἐστὶν ἡρπακὼς Ὠρείθυιαν· οὐραὶ δὲ ὄφεων ἀντὶ ποδῶν εἰσὶν αὐτῷ. καὶ Ἡρακλέους ὁ πρὸς Γηρυόνην ἀγών· τρεῖς δὲ ἄνδρες Γηρυόνης εἰσὶν ἀλλήλοις προσεχόμενοι. Θησεὺς δὲ ἔχων λύραν καὶ παρ' αὐτὸν Ἀριάδνη κατέχουσά ἐστι στέφανον. Ἀχιλλεῖ δὲ καὶ Μέμνονι μαχομένοις παρεστήκασιν αἱ μητέρες. 2 Ἔστι δὲ καὶ Μελανίων, καὶ Ἀταλάντη παρ' αὐτὸν ἔχουσα ἐλάφου νεβρόν. μονομαχοῦντος δὲ Αἴαντι Ἕκτορος κατὰ τὴν πρόκλησιν, μεταξὺ ἕστηκεν αὐτῶν Ἔρις αἰσχίστη τὸ εἶδος· ἐοικυῖαν πρὸς ταύτην καὶ Καλλιφῶν Σάμιος ἐν Ἀρτέμιδος ἱερῷ τῆς Ἐφεσίας ἐποίησεν Ἔριν, τὴν μάχην γράψας τὴν ἐπὶ ταῖς ναυσὶν Ἑλλήνων. Εἰσὶ δὲ ἐπὶ τῇ λάρνακι Διόσκουροι, ὁ ἕτερος οὐκ ἔχων πω γένεια, μέση δὲ αὐτῶν Ἑλένη. 3 Αἴθρα δὲ ἡ Πιτθέως ὑπὸ τῆς Ἑλένης τοῖς ποσὶν ἐς ἔδαφος καταβεβλημένη μέλαιναν ἔχουσά ἐστιν ἐσθῆτα. ἐπίγραμμα δὲ ἐπ' αὐτοῖς ἔπος τε ἑξάμετρον, καὶ ὀνόματός ἐστιν ἑνὸς ἐπὶ τῷ ἑξαμέτρῳ προσθήκη·

> Τυνδαρίδα Ἑλέναν φέρετον, Αἴθραν δ' ἑλκεῖτον
> Ἀθάναθεν.

4 Τοῦτο μὲν δὴ τὸ ἔπος οὕτω πεποίηται, Ἰφιδάμαντος δὲ τοῦ Ἀντήνορος κειμένου μαχόμενος πρὸς Ἀγαμέμνονα ὑπὲρ αὐτοῦ Κόων ἐστί· Φόβος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφα-

λὴν λέοντος. ἐπιγράμματα δὲ ὑπὲρ μὲν τοῦ Ἰφιδάμαντος νεκροῦ,

Ἰφιδάμας οὗτός γε, Κόων περιμάρναται αὐτοῦ·

τοῦ Ἀγαμέμνονος δὲ ἐπὶ τῇ ἀσπίδι,

Οὗτος μὲν Φόβος ἐστὶ βροτῶν, ὁ δ' ἔχων Ἀγαμέμνων.

5 Ἄγει δὲ καὶ Ἑρμῆς παρ' Ἀλέξανδρον τὸν Πριάμου τὰς θεὰς κριθησομένας ὑπὲρ τοῦ κάλλους· καὶ ἔστιν ἐπίγραμμα καὶ τούτοις·

Ἑρμείας ὅδ' Ἀλεξάνδρῳ δείκνυσι διαιτῆν
τοῦ εἴδους Ἥραν καὶ Ἀθάναν καὶ Ἀφροδίταν.

Ἄρτεμις δὲ οὐκ οἶδα ἐφ' ὅτῳ λόγῳ πτέρυγας ἔχουσά ἐστιν ἐπὶ τῶν ὤμων, καὶ τῇ μὲν δεξιᾷ κατέχει πάρδαλιν, τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν λέοντα.[1] πεποίηται δὲ καὶ Κασσάνδραν ἀπὸ τοῦ ἀγάλματος Αἴας τῆς Ἀθηνᾶς ἕλκων· ἐπ' αὐτῷ δὲ καὶ ἐπίγραμμά ἐστιν·

Αἴας Κασσάνδραν ἀπ' Ἀθαναίας Λοκρὸς ἕλκει.

6 Τῶν δὲ Οἰδίποδος παίδων Πολυνείκει πεπτωκότι ἐς γόνυ ἔπεισιν Ἐτεοκλῆς. τοῦ Πολυνείκους δὲ ὄπισθεν ἕστηκεν ὀδόντας τε ἔχουσα οὐδὲν ἡμερωτέρους θηρίου, καὶ οἱ καὶ τῶν χειρῶν εἰσὶν ἐπικαμπεῖς οἱ ὄνυχες· ἐπίγραμμα δὲ ἐπ' αὐτῇ εἶναί φησι Κῆρα, ὡς τὸν μὲν ὑπὸ τοῦ Πεπρωμένου τὸν Πολυνείκην ἀπαχθέντα, Ἐτεοκλεῖ δὲ γενομένης καὶ σὺν τῷ δικαίῳ τῆς τελευτῆς. Διόνυσος δὲ ἐν ἄντρῳ κατακείμενος, γένεια ἔχων καὶ ἔκπωμα χρυσοῦν, ἐνδεδυκὼς ἐστι ποδήρη χιτῶνα. δένδρα δὲ ἄμπελοι περὶ αὐτὸ καὶ μηλέαι τε εἰσὶ καὶ ῥοιαί.

«7 Ἡ δὲ ἀνωτάτω χώρα, πέντε γὰρ ἀριθμόν εἰσι, παρέχεται μὲν ἐπίγραμμα οὐδέν, λείπεται δὲ εἰκάζειν ἐς τὰ ἐπειργασμένα. εἰσὶν οὖν ἐν σπηλαίῳ γυνὴ καθεύδουσα σὺν ἀνδρὶ ἐπὶ κλίνῃ, καὶ σφᾶς Ὀδυσσέα εἶναι καὶ Κίρκην ἐδοξάζομεν ἀριθμῷ τε τῶν θεραπαινῶν αἵ εἰσι πρὸ τοῦ σπηλαίου, καὶ τοῖς ποιουμένοις ὑπ' αὐτῶν· τέσσαρές τε γάρ εἰσιν αἱ γυναῖκες, καὶ ἐργάζονται τὰ ἔργα ἃ ἐν τοῖς ἔπεσιν Ὅμηρος εἴρηκε. Κένταυρος δὲ οὐ τοὺς πάντας ἵππου πόδας, τοὺς δὲ ἔμπροσθεν

[1] Ἰδὲ παράστασιν ἐπὶ μεγάλου (ὕψ. 0·86) χαλκοῦ ἐλάσματος ἀρχαϊκοῦ ἐν Ὀλυμπίᾳ εὑρεθέντος (κατωτ. περὶ τῶν ἐν τῇ Σ αἰθούσῃ χαλκωμάτων), νῦν κειμένου ἐν τῇ χαλκοθήκῃ τοῦ ἐν Ἀθήναις μουσείου ἀριθ. 6444.

αὐτῶν ἔχων ἀνδρός ἐστιν.[1] 8 Ἑξῆς καὶ ἵππων συνωρίδες καὶ γυναῖκες ἐπὶ τῶν συνωρίδων εἰσὶν ἑστῶσαι· πτερὰ δὲ τοῖς ἵπποις χρυσᾶ ἐστί, καὶ ἀνὴρ δίδωσιν ὅπλα μιᾷ τῶν γυναικῶν. ταῦτα ἐς τὴν Πατρόκλου τελευτὴν ἔχειν τεκμαίρονται· Νηρηίδας τε γὰρ ἐπὶ τῶν συνωρίδων εἶναι, καὶ Θέτιν τὰ ὅπλα λαμβάνειν παρὰ Ἡφαίστου. καὶ δὴ καὶ ἄλλως ὁ τὰ ὅπλα διδοὺς οὔτε τοὺς πόδας ἐστὶν ἐρρωμένος, καὶ ὄπισθεν οἰκέτης ἕπεταί οἱ πυράγραν ἔχων. 9 λέγεται δὲ καὶ ἐς τὸν Κένταυρον ὡς Χείρων ἀπηλλαγμένος ἤδη παρὰ ἀνθρώπων καὶ ἠξιωμένος εἶναι σύνοικος θεοῖς ῥᾳστώνην τινὰ ἥκοι τοῦ πένθους Ἀχιλλεῖ παρασκευάσων. Παρθένους δὲ ἐπὶ ἡμιόνων, τὴν μὲν ἔχουσαν τὰς ἡνίας, τὴν δὲ ἐπικειμένην κάλυμμα ἐπὶ τῇ κεφαλῇ, Ναυσικᾶν τε νομίζουσιν εἶναι τὴν Ἀλκίνου καὶ τὴν θεράπαιναν ἐλαυνούσας ἐπὶ τοὺς πλυνούς. Τοξεύοντα δὲ ἄνδρα Κενταύρους, τοὺς δὲ καὶ ἀπεκτονότα ἐξ αὐτῶν, δῆλα Ἡρακλέα τε τὸν τοξεύοντα καὶ Ἡρακλέους εἶναι τὸ ἔργον.

«10 Τὸν μὲν δὴ τὴν λάρνακα κατειργασμένον ὅστις ἦν, οὐδαμῶς ἡμῖν δυνατὰ ἦν συμβαλέσθαι· τὰ ἐπιγράμματα δὲ τὰ ἐπ' αὐτῆς τάχα μέν που καὶ ἄλλος τις ἂν εἴη πεποιηκώς, τῆς δὲ ὑπονοίας τὸ πολὺ ἐς Εὔμηλον τὸν Κορίνθιον εἶχεν ἡμῖν, ἄλλων τε ἕνεκα καὶ τοῦ προσοδίου μάλιστα ὃ ἐποίησεν ἐς Δῆλον».

Ἡ λάρναξ αὕτη κατὰ μὲν τὸν θρῦλον ἦτο αὐτὴ ἐκείνη, ἐν ᾗ ἔκρυψε τὸν Κύψελον γεννηθέντα ἡ μήτηρ ἵνα σώσῃ αὐτὸν ἐκ τῆς διώξεως τῶν Βακχιαδῶν, κατὰ δὲ τὴν τέχνην κτλ. προήρχετο, ὡς νῦν εἰκάζεται, ἐκ τῶν μετὰ τὸ 600 π. Χρ. χρόνων.[2]

Μετὰ τὴν λάρνακα ὁ Παυσανίας γράφει (Ε' 20, 1-3): «ἔστι δὲ ἐνταῦθα καὶ ἄλλα ἀναθήματα, κλίνη τε μέγεθος οὐ μεγάλη, τὰ πολλὰ ἐλέφαντι κεκοσμημένη . . . . . τὴν μὲν δὴ Ἱπποδαμείας λέγουσιν εἶναι παίγνιον» καὶ ὁ τὴν ἐκεχειρίαν περιέχων δίσκος τοῦ Ἰφίτου (ἀνωτ. σ. 17, 173) καὶ ἡ ὑπὸ τοῦ Κωλώτου ποιηθεῖσα χρυσελεφαντίνη «τράπεζα, ἐφ' ἧς προτίθενται τοῖς νικῶσιν οἱ στέφανοι . . . . 2 ἡ τράπεζα δὲ ἐλέφαντος μὲν πεποίηται καὶ χρυσοῦ, Κωλώτου δέ ἐστιν ἔργον· εἶναι δέ φασιν ἐξ Ἡρακλείας τὸν Κωλώτην. οἱ δὲ πολυπραγ-

[1] Πρβ. ἐπὶ τοῦ ὀλίγῳ ἀνωτέρω (σελ. 247 σημ. 1) μνημονευθέντος χαλκοῦ ἐλάσματος, καὶ κατωτ. ἐν τοῖς περὶ τοῦ δυσμικοῦ ἀετώματος τοῦ ναοῦ τοῦ Διός.

[2] Πρβ. *Furtwängler* Meisterwerke der griechischen Plastik σ. 723 ἑξ. κλπ.

μονήσαντες σπουδῇ τὰ ἐς τοὺς πλάστας Πάριον ἀποφαίνουσιν ὄντα αὐτόν, μαθητὴν Πασιτέλους, Πασιτέλην δὲ αὐτὸν διδαχθῆναι * * [ἔμπροσθεν] καὶ Ἥρα τε καὶ Ζεὺς καὶ θεῶν Μήτηρ καὶ Ἑρμῆς καὶ Ἀπόλλων μετὰ Ἀρτέμιδος πεποίηται· ὄπισθε δὲ ἡ διάθεσίς ἐστιν ἡ τοῦ ἀγῶνος. 3 κατὰ δὲ ἑκατέραν πλευράν, τῇ μὲν Ἀσκληπιὸς καὶ τῶν Ἀσκληπιοῦ θυγατέρων Ὑγίειά ἐστιν, ἔτι δὲ καὶ Ἄρης καὶ Ἀγὼν παρ' αὐτόν, τῇ δὲ Πλούτων καὶ Διόνυσος Περσεφόνη τε καὶ νύμφαι, σφαῖραν αὐτῶν ἡ ἑτέρα φέρουσα· ἐπὶ δὲ [τῇ] κλειδί, ἔχει γὰρ δὴ ὁ Πλούτων κλεῖν, λέγουσιν ἐπ' αὐτῇ τὸν καλούμενον ᾅδην κεκλεῖσθαί τε ὑπὸ τοῦ Πλούτωνος καὶ ὡς ἐπάνεισιν οὐδεὶς αὖθις ἐξ αὐτοῦ» (Παυσ. Ε' 20, 1-3, πρβ. Ε' 12, 5, ἀνωτ. σελ. 118, 173).

Ἐν τέλει προστεθήτωσαν καὶ τὰ παρὰ Πολέμωνι (ἀνωτ. σ. 237): «ἐν δὲ τῷ ναῷ τῆς Ἥρας τῷ παλαιῷ φιάλαι ἀργυραῖ τριάκοντα, κρατάνια ἀργυρᾶ δύο, χύτρος ἀργυροῦς, ἀποθυστάνιον χρυσοῦν, κρατὴρ χρυσοῦς, Κυρηναίων ἀνάθημα, βατιάκιον (δηλ. εἶδος ποτηρίου Περσικοῦ) ἀργυροῦν».[1]

Ἄλλα ἀγάλματα ὑπῆρχον ἐν τοῖς μετακιονίοις τοῦ περιστυλίου, ἔτι δὲ ἐπ' αὐτῶν τῶν κιόνων ἰδίᾳ τῆς Ν. πλευρᾶς ὁρῶνται ἐγγλυφαί, ἐν αἷς ἦσαν ἐφηρμοσμέναι στῆλαι ἀνάγλυπτοι ἢ ἐπιγεγραμμέναι. Ἐπὶ τοῦ κρηπιδώματος σῴζονται κατὰ τὴν Α. καὶ Ν. πλευρὰν ὀπαί τινες, γενόμεναι, ὡς εἰκάζεται, ὅπως προσδέωνται τὰ πρὸς θυσίαν ζῷα.

Πρὸς τῇ Ν. πλευρᾷ πρὸ τοῦ 3ου ἐξ ἀνατολῶν μετακιονίου εὕρηται δεξαμενή τις ἐκ πλίνθων, ἐν ᾗ ὑπῆρχε μεγάλη φιαλοειδὴς λεκάνη πίδακος (μαρμάρου λευκοῦ νησιωτικοῦ, διαμ. 2·18 μ.)· ὁ ὀχετὸς διῆκεν ἐπὶ τοῦ ἀναβαθμοῦ τοῦ ναοῦ, ὅπου καὶ νῦν διακρίνονται τὰ ἴχνη.

Πρὸς Ν. τοῦ Ἡραίου παρὰ τὸ Πελόπιον σῴζονται λείψανα μεγάλου βωμοῦ· ἐνταῦθα ηὑρέθησαν μετὰ μελαίνης τέφρας πάμπολλα ἀρχαιότατα ἀναθήματα, οἷον πρὸς ἄλλοις ὑπὲρ χίλια ἀτεχνότατα μικρὰ εἰδώλια ἀνθρώπων καὶ ζῴων, πήλινα καὶ χαλκᾶ, τῶν εὑρημάτων δὲ τούτων τὸ κατώτατον στρῶμα (πήλινα τὸ πλεῖστον εἰδώλια) εἰσεχώρει μέχρι ὑπὸ τὰ θεμέλια τοῦ Ἡραίου καὶ ὑπὸ τὸν περίβολον τοῦ Πελοπίου. Ἐκ τούτων εἰκάζεται ὅτι ἐνταῦθά που κατὰ τὴν ΝΔ. τοῦ

[1] Πολέμ. παρ' Ἀθην. 480 a, πρβ. ἀνωτ. σελ. 223 καὶ περὶ τοῦ θησαυροῦ τῶν Κυρηναίων αὐτ.

Ἡραίου γωνίαν ὑπῆρχεν ἐν παναρχαίοις χρόνοις πρὸ τῆς ἱδρύσεως τοῦ Ἡραίου καὶ τοῦ σῳζομένου βωμοῦ καὶ τοῦ Πελοπίου ὁ σπουδαιότατος τῶν ἐν Ὀλυμπίᾳ βωμῶν, ὁ τῆς Ἥρας ἢ κοινὸς τῆς Ἥρας καὶ τοῦ Διὸς (πρβ. ἀνωτ. σ. 184, 240). Ὑπὸ Παυσανίου (Ε΄ 14, 8) ἀναγράφεται βωμὸς «Ἥρας ἐπίκλησιν Ὀλυμπίας, πεποιημένος τέφρας καὶ οὗτος· Κλυμένου[1] δέ φασιν αὐτὸν ἀνάθημα εἶναι»· ὁ ἐπὶ Παυσανίου βωμὸς τῆς Ὀλυμπίας Ἥρας εἶνε, ὡς εἰκάζεται, ὅπου τὰ λείψανα ηὑρέθησαν, ἢ κατ' ἄλλους ὁ πρὸς Α. τοῦ Ἡραίου μέγας βωμός, ὅπου ἐν τοῖς στρώμασι, καθάπερ καὶ ἀνωτέρω, ηὑρέθησαν ἀρχαϊκὰ χαλκώματα, ἰδίᾳ ζῳδάρια, καὶ πήλινα εἰδώλια. *Dörpfeld* ἐν Ergebn. II σελ. 27 ἑξ. κλπ.

## Πελόπιον.

Ὁ Παυσανίας (Ε΄ 13, 1 ἑξ.) λέγει: «ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πέλοπι ἀποτετμημένον τέμενος· ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων ὅσον Ζεὺς θεῶν τῶν ἄλλων. ἔστιν οὖν τοῦ ναοῦ τοῦ Διὸς κατὰ δεξιὰν τῆς ἐσόδου πρὸς ἄνεμον Βορέαν τὸ Πελόπιον, ἀφεστηκὸς μὲν τοῦ ναοῦ τοσοῦτον ὡς μεταξὺ καὶ ἀνδριάντας καὶ ἀναθήματα ἄλλα ἀνακεῖσθαι, παρήκει δὲ ὡς ἐπὶ τὸν ὀπισθόδομον ἀπὸ μέσου μάλιστα ἀρξάμενον τοῦ ναοῦ, καὶ λίθων τε θριγκῷ περιέχεται, καὶ δένδρα ἐντὸς πεφυκότα καὶ ἀνδριάντες εἰσὶν ἀνακείμενοι. 2 ἔσοδος δὲ ἐς αὐτὸ πρὸς δυσμῶν ἐστὶν ἡλίου. τοῦτο ἀπονεῖμαι τῷ Πέλοπι Ἡρακλῆς ὁ Ἀμφιτρύωνος λέγεται· τέταρτος γὰρ δὴ ἀπόγονος καὶ οὗτος ἦν Πέλοπος.[2] λέγεται δὲ καὶ ὡς ἔθυσεν ἐς τὸν βόθρον τῷ Πέλοπι.[3] Θύουσι δὲ αὐτῷ καὶ νῦν

[1] Περὶ τοῦ Κλυμένου ὁ Παυσανίας λέγει (Ε΄ 8, 1): «πεντηκοστῷ μάλιστα ἔτει μετὰ τὴν συμβᾶσαν ἐπὶ Δευκαλίωνος ἐν Ἕλλησιν ἐπομβρίαν ἐλθόντα ἐκ Κρήτης, γένος ἀπὸ Ἡρακλέους ὄντα τοῦ Ἰδαίου, τόν τε ἀγῶνα ἐν Ὀλυμπίᾳ θεῖναι . . . .» (ἀνωτ. σελ. 15).

[2] Ἀνωτ. σελ. 17 σημ. 2.

[3] Πρβ. καὶ Ἀπολλόδωρον Β΄ 7, 2 περὶ τοῦ Ἡρακλέους: «ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, Πέλοπός τε βωμὸν ἱδρύσατο, καὶ θεῶν δώδεκα βωμοὺς ἓξ ἐδείματο», πρβ. Ψευδοπίνδ. Ὀλ. Ε΄ 5 καὶ σχολ., ἀνωτ. σελ. 30 (πρβ. Ι΄ 49), *Flasch* Olymp. σελ. 1066 ἑξ., 1068 (πρβ. περὶ τῶν ἐν Ἀθήναις Ἡρόδ. Β΄ 7)· περὶ πάντων τῶν ἐν Ὀλυμπίᾳ βωμῶν *Flasch* Ol. 1067 ἑξ., ἀνωτ. σελ. 233.

ἔτι οἱ κατὰ ἔτος τὰς ἀρχὰς ἔχοντες· τὸ δὲ ἱερεῖόν ἐστι κριὸς μέλας.[1] ἀπὸ ταύτης οὐ γίνεται τῷ μάντει μοῖρα τῆς θυσίας, τράχηλον δὲ μόνον δίδοσθαι τοῦ κριοῦ καθέστηκε τῷ ὀνομαζομένῳ ξυλεῖ. 3 ἔστι δὲ ὁ ξυλεὺς ἐκ τῶν οἰκετῶν τοῦ Διός, ἔργον δὲ αὐτῷ πρόσκειται τὰ ἐς τὰς θυσίας ξύλα τεταγμένου λήμματος καὶ πόλεσι παρέχειν καὶ ἀνδρὶ ἰδιώτῃ· τὰ δὲ λεύκης μόνης ξύλα καὶ ἄλλου δένδρου ἐστὶν οὐδενός.[2] ὃς δ' ἂν ἢ αὐτῶν Ἠλείων ἢ ξένων τοῦ θυομένου τῷ Πέλοπι ἱερείου φάγῃ τῶν κρεῶν, οὐκ ἔστιν οἱ ἐσελθεῖν παρὰ τὸν Δία. . . .». Παρακατιὼν ὁ Παυσανίας ἀφηγεῖται τὸν περὶ τοῦ ἱεροῦ λειψάνου τοῦ Πέλοπος μῦθον ὡς ἑξῆς: « 4 λέγεται δὲ καὶ τοιόνδε ἔτι· μηκυνομένου τοῦ πρὸς Ἰλίῳ πολέμου προαγορεῦσαι αὐτοῖς τοὺς μάντεις ὡς αἱρήσουσιν οὐ πρότερον τὴν πόλιν, πρὶν ἂν τὰ Ἡρακλέους τόξα καὶ ὀστοῦν ἐπαγάγωνται Πέλοπος. οὕτω δὴ μεταπέμψασθαι μὲν Φιλοκτήτην φασὶν αὐτοὺς ἐς τὸ στρατόπεδον, ἀχθῆναι δὲ καὶ τῶν ὀστῶν ὠμοπλάτην[3] σφίσιν ἐκ Πίσης τῶν Πέλοπος. ὡς δὲ οἴκαδε ἐκομίζοντο, ἀπόλλυται περὶ Εὔβοιαν καὶ ἡ ναῦς ὑπὸ τοῦ χειμῶνος ἡ τὸ ὀστοῦν φέρουσα τὸ Πέλοπος. 5 ἔτεσι δὲ ὕστερον πολλοῖς μετὰ ἅλωσιν Ἰλίου Δαμάρμενον ἁλιέα ἐξ Ἐρετρίας ἀφέντα δίκτυον ἐς θάλασσαν τὸ ὀστοῦν ἑλκύσαι, θαυμάσαντα δὲ αὐτοῦ τὸ μέγεθος ἔχειν ἀποκρύψαντα ὑπὸ τὴν ψάμμον. τέλος δὲ αὐτὸν ἀφικέσθαι καὶ ἐς Δελφούς, ὅτου τε ἀνδρὸς τὸ ὀστοῦν εἴη καὶ ὅ τι χρηστέον αὐτῷ διδαχθῆναι δεησόμενον. 6 καί πως κατὰ πρόνοιαν τοῦ θεοῦ τηνικαῦτα **[4] παρὰ Ἠλείων

[1] Ὁ Πέλοψ ἐλατρεύετο ὡς ἄνθρωπος ἀφηρωσθεὶς καὶ οὐχὶ ὡς θεός· δι' ὃ καὶ τὸ θῦμα ἦτο μέλαν, ἡ δὲ θυσία ἐτελεῖτο εἰς βόθρον καὶ οὐχὶ ἐπὶ βωμοῦ.

[2] Πρβ. ἀνωτέρω περὶ τοῦ βωμοῦ τοῦ Διὸς σελ. 233.

[3] Πρβ περὶ τοῦ ἐλεφαντίνου μέρους, ὅπερ ἡ Δημήτηρ ἀντικατέστησεν ἀντὶ τοῦ ὑπ' αὐτῆς καταβρωθέντος φυσικοῦ ὤμου τοῦ Πέλοπος· ὅτε γὰρ ὁ Τάνταλος, βασιλεὺς τῆς Φρυγίας, καλέσας εἰς δεῖπνον τοὺς θεοὺς παρέθηκεν αὐτοῖς διαμεμελισμένον καὶ ἐφθὸν τον ἑαυτοῦ παῖδα Πέλοπα, μόνη ἡ Δημήτηρ ἀφηρημένη ἐκ τῆς λύπης διὰ τὴν ἁρπαγὴν τῆς Κόρης ἐγεύσατο τοῦ δείπνου· ὁ Ζεὺς ἐπανήγαγε τὸν Πέλοπα εἰς τὴν ζωήν, τὸν δὲ Τάνταλον διὰ τὴν ἀσέβειαν κατεδίκασε καὶ ζῶντα καὶ θανόντα (ἐν Ἅδου ὁ Τάνταλος διετέλει διψῶν καὶ πεινῶν ἐν λίμνῃ πλησίον δένδρων ἀγλαοκάρπων, ὁσάκις δὲ ἐζήτει νὰ κορέσῃ τὸν πόθον, τὸ ὕδωρ καὶ οἱ καρποὶ ἠφανίζοντο· Ὅμηρ. Ὀδυσσ. λ 582 ἑξ., ἢ κατ' ἄλλους ἄλλως). — Ἀνωτ. σ. 20 στ. 15/6 γρ. καὶ ἀντὶ τῆς κεφ. αὐτοῦ ἀντικατ. ἡ αὐτοκρ. κεφ., ἀλλά.

[4] Ἐνταῦθα ἐξέπεσον ἐκ τοῦ κειμένου δύο ἢ τρεῖς λέξεις (ῥῆμα καὶ ὑποκείμενον)· συμπληρώσεις περὶ παρούσης ἢ ἐλθούσης πρεσβείας ὅρα ἐν *Frazer* Paus. I σελ. 584, Παπαβασιλείου ἐν Ἀθηνᾶς ΙΑ' σ. 201.

ἐπανόρθωμα αἰτούντων νόσου λοιμώδους· ἀνεῖπεν οὖν σφίσιν ἡ Πυθία, τοῖς μὲν ἀνασώσασθαι Πέλοπος τὰ ὀστᾶ, Δαμαρμένῳ δὲ ἀποδοῦναι τὰ εὑρημένα αὐτῷ Ἠλείοις. καί οἱ ταῦτα ποιήσαντι ἄλλα τε ἀντέδοσαν Ἠλεῖοι, καὶ Δαμάρμενόν τε αὐτὸν καὶ ἀπογόνους τοὺς ἐκείνου φύλακας σφᾶς εἶναι τοῦ ὀστοῦ. ἡ δὲ ὠμοπλάτη τοῦ Πέλοπος ἠφάνιστο ἤδη κατ' ἐμέ, ὅτι, ἐμοὶ δοκεῖν, ἐκέκρυπτο ἐπὶ πολὺ κατὰ τοῦ βυθοῦ καὶ ὁμοῦ τῷ χρόνῳ προσέκαμνεν οὐχ ἥκιστα ὑπὸ τῆς θαλάσσης.[1] 7 Πέλοπος δὲ καὶ Ταντάλου τῆς παρ' ἡμῖν[2] ἐνοικήσεως σημεῖα ἔτι καὶ ἐς τόδε λείπεται, Ταντάλου μὲν λίμνη τε ἀπ' αὐτοῦ καλουμένη καὶ οὐκ ἀφανὴς τάφος, Πέλοπος δὲ ἐν Σιπύλῳ μὲν θρόνος ἐν κορυφῇ τοῦ ὄρους ἐστὶν ὑπὲρ τῆς Πλαστήνης[3] μητρὸς τὸ ἱερόν, διαβάντι δὲ Ἕρμον ποταμὸν Ἀφροδίτης ἄγαλμα ἐν Τήμνῳ πεποιημένον ἐκ μυρσίνης τεθηλυίας· ἀναθεῖναι δὲ Πέλοπα αὐτὸ παρειλήφαμεν μνήμῃ προϊλασκόμενόν τε τὴν θεὸν καὶ γενέσθαι οἱ τὸν γάμον τῆς Ἱπποδαμείας αἰτούμενον».

Ἡ θέσις τοῦ τεμένους ὁρίζεται μεταξὺ τοῦ Ἡραίου καὶ τοῦ μεγάλου ναοῦ ἀκριβέστατα ὑπὸ τοῦ Παυσανίου. Ἦτο δὲ τὸ Πελόπιον μικρὸς γήλοφος[4] ταπεινὸς (νῦν ὕψ. ὡς 2 μ., μήκ. 40 μ., πλ. ὡς 30 μ.), ὁριζόμενος, ὡς ἐκ τῶν λειψάνων φαίνεται, διὰ λιθίνου πεντεγώνου περιβόλου ἀγνώστων χρόνων. Ἡ εἴσοδος αὐτοῦ (κατὰ τὴν ΝΔ. γωνίαν) κατ' ἀρχὰς συνέκειτο πιθανῶς ἐξ ἑνὸς θυρώματος μετὰ δύο κιόνων ἔμπροσθεν καὶ δύο ὄπισθεν, ξυλίνων· ἔπειτα δὲ ληγούσης τῆς 5ης π. Χρ. ἑκατονταετηρίδος ἢ ἀρχομένης τῆς 4ης ἐκοσμήθη ὡς πρόστυλος διὰ προπυλαίου, δωρικοῦ ῥυθμοῦ, μετὰ τριπλῶν θυρωμάτων· εἰς τὸ μέσον, τὸ καὶ πλατύτερον, θύρωμα ἦγεν ἔξωθεν ἀνάντης πωρίνη πρόσβασις ὕστερον πιθανῶς προστεθεῖσα.

Τῆς εἰσόδου σῴζονται τὰ θεμέλια, κίονες δὲ καὶ θριγκὸς ηὑρέθησαν ἐν τῇ ἀνατολικῇ πλευρᾷ τοῦ Βυζαντιακοῦ τείχους. Αἱ εἰς τὸν ἥρωα

[1] Πρβ. Παυσαν. Ϛ' 22, 1.

[2] Ἐκ τοῦ χωρίου τούτου δηλοῦται ὅτι ὁ Παυσανίας ἦτο Λυδός, πιθανῶς ἐκ Μαγνησίας τῆς ὑπὸ Σιπύλῳ (ΒΑ. τῆς Σμύρνης) πρβ. Παυσ. Α' 24, 8, Η' 17, 3· τὸ 5ον βιβλίον (Ἠλειακὰ α') ἔγραψεν ὁ Παυσανίας τῷ 174 μ. Χρ., τὸ δὲ 1ον πρῶτον πάντων. Πρβ. *Frazer* Paus. I σελ. XV ἑξ., III σελ. 552 ἑξ.

[3] Οὕτω (οὐχὶ Πλακιανῆς) γραπτέον κατὰ τὰ χειρόγραφα καὶ ἐπιγραφὰς (πρβ. Κυβέλη, μήτηρ τῶν θεῶν), *Frazer* Paus. I σ 584, III σ. 552 ἑξ.

[4] τύμβος παρὰ Πινδάρῳ Ὀλυμπ. Α' 96.

θυσίαι ἐτελοῦντο, ὡς ἐκ λειψάνων τέφρας μετ' ἀνθράκων εἰκάζεται, ἐν τῷ Ν. τοῦ ὑψώματος· αὐτόθι δὲ ηὑρέθησαν καὶ πλεῖστα ἀναθήματα ἀρχαιότατα, οἷον πήλινα καὶ χαλκᾶ εἰδώλια ἀνθρώπων καὶ ζῴων καὶ ἄλλα χαλκώματα, τεμάχια τριπόδων, λεβήτια, ψέλια, περόναι, κύμβαλα. Πρὸς τῇ Β. καὶ Α. πλευρᾷ τοῦ Πελοπίου διῆκεν ἀγωγὸς τὸ μὲν πρὸς διοχέτευσιν ποτίμου τὸ δὲ πρὸς ἐκροὴν τοῦ ὀμβρίου ὕδατος· τὸ ὑδραγωγεῖον τοῦτο ἀπὸ τῆς Α. γωνίας τοῦ Πελοπίου φέρεται μέχρι τινὸς εὐθὺ πρὸς ΝΑ., ἐνταῦθα δὲ (πρὸς Α. τοῦ βάθρου τοῦ Μικύθου ἤτοι πρὸς ΝΑ. τοῦ βάθρου τοῦ Δρωπίωνος) σχηματίζει καμπὴν ἕνεκα προϋπαρχόντων θεμελίων, πιθανῶς τῶν τῆς οἰκίας τοῦ Οἰνομάου.[1] *Laloux* et *Monceaux* Restaur. d'Olympie σ. 109 ἑξ., *Dörpfeld* ἐν Erg. II σελ. 56 ἑξ.

## Φιλίππειον.

Περὶ τούτου ὁ Παυσανίας λέγει (Ε´ 20, 9-10): «ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως τὸ Μητρῷον, καὶ οἴκημα περιφερὲς ὀνομαζόμενον Φιλίππειον· ἐπὶ κορυφῇ δέ ἐστι τοῦ Φιλιππείου μήκων χαλκῆ σύνδεσμος ταῖς δοκοῖς. 10 τοῦτο τὸ οἴκημα ἔστι μὲν κατὰ τὴν ἔξοδον τὴν κατὰ τὸ Πρυτανεῖον ἐν ἀριστερᾷ, πεποίηται δὲ ὀπτῆς πλίνθου, κίονες δὲ περὶ αὐτὸ ἑστήκασι· Φιλίππῳ δὲ ἐποιήθη μετὰ τὸ ἐν Χαιρωνείᾳ τὴν Ἑλλάδα ὀλισθεῖν. κεῖνται δὲ αὐτόθι Φίλιππός τε καὶ Ἀλέξανδρος, σὺν

[1] Πρβ. ἀνωτ. σ. 186-7 περὶ τῶν θεμελίων τῆς ἐν τῇ Ἄλτει οἰκίας τοῦ Οἰνομάου (Παυσαν. Ε´ 14, 7), ὧν ἡ θέσις ὁρίζεται ὑπὸ Παυσανίου ἐν δεξιᾷ τῷ ἀπὸ τοῦ μεγάλου βωμοῦ πρὸς τὸν ναὸν τοῦ Διὸς βαίνοντι· Παυσ. Ε´ 20, 6-8: «ἣν δὲ καλοῦσιν κίονα [καὶ] οἱ Ἠλεῖοι [καλοῦσιν], ἔστι μὲν πρὸς τὸ ἱερὸν τοῦ Διὸς ἰόντι ἀπὸ τοῦ μεγάλου βωμοῦ, τέσσαρες δέ εἰσιν ἐν ἀριστερᾷ κίονες καὶ ἐπ' αὐτῶν ὄροφος. πεποίηνται δὲ ἔρυμα εἶναι ξυλίνῳ κίονι πεπονηκότι ὑπὸ τοῦ χρόνου καὶ τὰ πολλὰ ὑπὸ δεσμῶν συνεχομένῳ. οὗτος ὁ κίων ἐν οἰκίᾳ τοῦ Οἰνομάου, καθὰ λέγουσιν, εἱστήκει· κεραυνώσαντος δὲ τοῦ θεοῦ τὴν μὲν ἄλλην ἠφάνισεν οἰκίαν τὸ πῦρ, ὑπελίπετο τὸν κίονα ἐξ ἁπάσης μόνον. πινάκιον δὲ πρὸ αὐτοῦ χαλκοῦν ἐλεγεῖα ἔχει γεγραμμένα·

καὶ γὰρ ἐγὼ κλεινῶν εἰμ' ὦ ξένε λείψανον οἴκων κλπ.»·

ὡς θεμέλια τῆς Οἰνομάου οἰκίας θεωροῦνται πιθανῶς τὰ πρὸς ΝΑ. τοῦ βάθρου τοῦ Δρωπίωνος εὐθὺς πρὸς τῇ ΝΔ. πλευρᾷ τοῦ ὑδραγωγείου σῳζόμενα, τοῦτο δὲ εἰκάζεται ἰδίᾳ ἐκ τῆς (ἀμβλείας) γωνίας ἢ καμπῆς, ὡς εἴρηται, ἣν ἐδέησε νὰ σχηματίσῃ τὸ ὑδραγωγεῖον κατ' ἀνάγκην ἕνεκα τῶν αὐτόθι προϋπαρχόντων καὶ μετὰ τοῦ κίονος διατηρητέων κριθέντων θεμελίων (πρβ. *Bötticher*[2] σελ. 193· ἀνωτ. σελ. 213).

δὲ αὐτοῖς Ἀμύντας ὁ Φιλίππου πατήρ. ἔργα δὲ ἐστὶ καὶ ταῦτα Λεωχάρους ἐλέφαντος καὶ χρυσοῦ, καθὰ καὶ τῆς Ὀλυμπιάδος καὶ Εὐρυδίκης εἰσὶν αἱ εἰκόνες»· πρβ. καὶ Ε΄ 17, 4 «μετεκομίσθη δὲ καὶ αὐτόσε (δηλ. εἰς τὸ Ἡραῖον) καὶ ἐκ τοῦ καλουμένου Φιλιππείου χρυσοῦ καὶ ταῦτα καὶ ἐλέφαντος, Εὐρυδίκη τε ἡ Φιλίππου * * *».[1]

Τὸ Φιλίππειον κεῖται πρὸς Δ. τοῦ Ἡραίου ἐν ἀριστερᾷ τῷ πρὸς τὴν βόρειον πύλην τοῦ περιβόλου τῆς Ἄλτεως βαίνοντι. Εἶνε δὲ περιφερὲς περίπτερον[2] οἰκοδόμημα· σύγκειται δῆλον ὅτι ἐκ τοῦ κυρίου «οἰκήματος» καὶ στοᾶς μονοστοίχου ὡσαύτως περιφεροῦς, ἤτοι κύκλῳ αὐτὸ περιβαλλούσης. Ἡ στοά, ρυθμοῦ ἰωνικοῦ, στηρίζεται ἐπὶ κρηπιδώματος πωρίνου φέροντος ἄνω πέριξ (κατὰ τὸ ὁρατὸν μέρος) τρεῖς Παρίου μαρμάρου ἀναβαθμούς,[3] ὧν οἱ λίθοι ἕκαστοι ἐπί τε τῆς ἄνω καὶ τῆς καθέτου ἐπιφανείας φέρουσι τὰ χείλη περιεγλυμμένα ταινιοειδῶς οὕτως ὥστε τὸ μέσον ἐξέχει εἰς τεκτονικὸν κάτοπτρον· ὡσαύτως δὲ τὰ κάτω τῆς καμπύλης (καθέτου) ἐπιφανείας ἑκάστου ἀναβαθμοῦ εἶνε ἐνεγλυμμένα ὡς δύο ταινίαι. Διάμετρος τοῦ οἰκοδομήματος ἐπὶ τοῦ ἄνω ἀναβαθμοῦ 15 25 μ. Οἱ κίονες (μετὰ 24 ραβδώσεων), 18 τὸν ἀριθμόν, καὶ ὁ θριγκὸς ἦσαν ἐκ πώρου, ἡ δὲ ὀροφὴ τῆς στοᾶς συνίστατο ἐκ πωρίνων πλακῶν φερουσῶν ὑποκάτω φατνώματα ρομβοειδῆ· ἡ στεφάνη, ἐκ Παρίου μαρμάρου, ἔφερε λεοντόκρανα γλυπτὰ καὶ μεταξὺ γραπτὰ ἀνθέμια, ἄνωθεν δὲ τούτων ὄπισθεν ἐξεῖχον καλυπτῆρες ἡγεμόνες Παρίου μρμάρου (πιθανῶς μετὰ γραπτῶν ἀνθεμίων)· ἡ στέγη ἔφερε μαρμαρίνας κεραμίδας.

Τὸ δὲ οἴκημα ἤτοι τὸ κυρίως οἰκοδόμημα συνέκειτο ἐκ πώρων λίθων οἵτινες ἔξωθεν πιθανῶς ἔφερον χρῶμα κεραμεοῦν μετὰ λευκῶν ἁρμῶν πρὸς ἀπομίμησιν κτίσματος πηλίνου, οὕτω δὲ πλανηθείς, ὡς εἰκάζεται, ὁ Παυσανίας ἔγραψε «πεποίηται δὲ ὀπτῆς πλίνθου». Τὸ ἐσωτερικὸν ἐκοσμεῖτο διὰ 12 ἡμικιόνων (ἀναγλύπτων ἐξ αὐτῶν τῶν λίθων τοῦ οἰκήματος) Κορινθιακοῦ ρυθμοῦ,[4] ἄνευ βάσεως, ἄνωθεν δὲ

[1] Ἡ συνέχεια τοῦ χωρίου λείπει (πρβ. ἀνωτ. σελ. 242)· εἵπετο ἐνταῦθα μετὰ τὴν Φιλίππου μητέρα Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου μήτηρ· πρβ. ἄλλως ἀνάγνωσιν Buttmann «Εὐρυδίκη τε ἡ Ἀριδαίου γυνὴ καὶ Ὀλυμπιὰς ἡ Φιλίππου» (*Frazer* Paus. I σελ. 586).

[2] Πρβ. τὰ δύο μονόπτερα κτίσματα τῆς Ἐξέδρας τοῦ Ἡρῴδου (ἀνωτ. σελ. 235).

[3] Νῦν ἐπανιδρυμένον τμῆμα τούτων ἐν τῷ νοτίῳ τῆς περιφερείας.

[4] Ἐπίκρανον μετὰ τεσσάρων σειρῶν φύλλων ἀκάνθου νῦν ἐν τῷ μουσείῳ (αἴθ. Κ).

αὐτῶν ὑπῆρχον ἰσάριθμοι κίονες μέχρι τῆς τοῦ οἰκήματος κορυφῆς, ἥτις ἦτο ὑψηλοτέρα τῆς τοῦ περιστυλίου· τὸ φῶς εἰσήρχετο διὰ τῆς θύρας (ἐξ ἀνατολῶν ἢ ἐκ νότου) καὶ πιθανῶς διὰ παραθύρου δικτυωτοῦ ἑκατέρωθεν αὐτῆς. Ἡ στέγη αὐτοῦ ἦτο κεκαλυμμένη πιθανῶς διὰ χαλκοῦ ἐλάσματος.

Ἐν τῷ κέντρῳ ὑπῆρχον τὰ 5 χρυσελεφάντινα ἀγάλματα. Τὸ βάθρον αὐτῶν ἔκειτο καταντικρὺ τῆς εἰσόδου, συνέκειτο δὲ ἐκ τριῶν Παρίου μαρμάρου δόμων, ὧν οἱ δύο (βάσις καὶ ἐπίκρανον) ἀπετελοῦντο ἑκάτερος ἐκ πέντε παρακειμένων λίθων, εἶχε δὲ ὕψ. 1·82 καὶ πλάτ. 0·46, σχῆμα δὲ τοξοειδὲς (μεῖζον τοῦ $^1/_3$ κύκλου διαμέτρου 4 $^1/_2$ μ.) ὁμόκεντρον τῷ οἰκοδομήματι, ἀπολεῖπον καὶ ὄπισθεν (μεταξὺ αὐτοῦ καὶ τοῦ τοίχου) διάδρομον πλάτους περ. 1 $^1/_2$ μ. ὥστε τὰ ἀγάλματα νὰ ὦσι περίοπτα. Τοῦ βάθρου ηὑρέθησαν 8 λίθοι· τούτων τέσσαρες εἶνε τοῦ ἐπικράνου (νῦν συνηρμοσμένοι κεῖνται ἔνθα που τὸ πάλαι, ἀλλὰ ταπεινότερον τῆς ἀρχῆθεν θέσεως, ἅτε ἐλλείποντος σχεδὸν ὅλου τοῦ ὑποβάθρου ἤτοι τῆς βάσεως καὶ τοῦ σώματος τοῦ βάθρου)· ἐπὶ τῶν τεσσάρων τούτων λίθων τοῦ ἐπικράνου (λείπει ὁ 5ος) εἰσὶν ἐνεγλυμμέναι πρὸς ἔνθεσιν τῶν τὰ ἀγάλματα φερουσῶν πλίνθων, ἤτοι πλακῶν, κοιλότητες, ἐξ ὧν εἰκάζεται ὅτι τὰ ἀγάλματα ἦσαν ἱστάμενα, μεγέθους δὲ οὐχὶ μείζονος τοῦ φυσικοῦ.

Περὶ τῆς στέγης ἀμφισβητεῖται ἂν ἦτο μία κοινὴ σκέπουσα ἅμα τό τε οἴκημα καὶ τὴν στοάν, ἢ ἂν ἑκάτερα εἶχον ἰδίαν στέγην ὅτε καὶ τὸ οἴκημα ὑπερέχον τῆς στέγης τῆς στοᾶς ἐδύνατο νὰ ἔχῃ ὀπαῖα πέριξ κατὰ τὰ πλάγια· πιθανωτέρα εἶνε ἡ πρώτη γνώμη, εἰκάζεται δὲ ὅτι καὶ διὰ μόνης τῆς θύρας ἐφωτίζοντο ἱκανῶς τὰ ἀγάλματα (πρβ. ὀλίγῳ ἀνωτέρω). Ἡ κορυφὴ τοῦ ἱδρύματος ἐκοσμεῖτο κατὰ Παυσανίαν διὰ χαλκῆς μήκωνος συνδεούσης ἅμα τὰς δοκούς· τὸ κόσμημα τοῦτο, ὡς ἐξ εὑρεθέντος τεμαχίου εἰκάζεται, ἦτο μαρμάρου κεχρωσμένου πιθανῶς ἢ ἐπιχρύσου.

Τὰ ἀγάλματα ἦσαν πέντε. Ἐν μέσῳ πιθανῶς ἵστατο ὁ Φίλιππος (2ος, ὁ πατὴρ Ἀλεξάνδρου τοῦ Μεγάλου), ἅτε πρὸς αὐτοῦ μάλιστα τιμὴν ποιηθέντος τοῦ φερωνύμου οἰκοδομήματος· καὶ παρὰ μὲν τὸ δεξιὸν τοῦ Φιλίππου πλευρὸν ἵστατο ὁ πατὴρ Ἀμύντας καὶ ἔπειτα ἡ μήτηρ Εὐρυδίκη, παρὰ δὲ τὸ ἀριστερὸν τοῦ Φιλίππου ὁ Ἀλέξανδρος καὶ ἔπειτα ἡ τούτου μήτηρ Ὀλυμπιάς. Οὕτω δὲ καὶ τὰ ἐπὶ

τῶν ἄκρων ἱδρυμένα ἀγάλματα τῶν δύο γυναικῶν ἐδύναντο ἄνευ διακοπῆς τῆς τάξεως νὰ ἀποκομισθῶσιν, ὡς εἴρηται, ὕστερον ἐντεῦθεν εἰς τὸ Ἡραῖον.

Περὶ τοῦ χρόνου τῆς ἱδρύσεως τοῦ οἰκοδομήματος παραδίδοται ἡμῖν ὡς ἀπωτάτω ἤτοι ἀρχαιότατος ὅρος (terminus post quem) ἡ ἐν Χαιρωνείᾳ μάχη (κατὰ τὸ θέρος τοῦ 338 π. Χρ.). Καὶ ἐνδέχεται μὲν ὅτι ὁ Φίλιππος ὥρισε τὰ τῆς ἱδρύσεως ἢ καὶ πιθανῶς ἤρξατο αὐτῆς, ἀλλ' ἐν τῷ βραχεῖ χρόνῳ τῷ μεταξὺ τοῦ 338 καὶ τοῦ θανάτου τοῦ Φιλίππου (336 π. Χρ.) δὲν εἶνε πιθανὸν ὅτι ἐξετελέσθη ἅπαν τὸ ἔργον μετὰ καὶ τῶν πέντε χρυσελεφαντίνων ἀγαλμάτων, οὐδὲ ὅτι ζῶντος τοῦ Φιλίππου ἐτιμήθη διὰ τοῦ ἀγάλματος ἡ Ὀλυμπιάς, ἡ διαζευχθεῖσα αὐτοῦ σύζυγος. Δι' ὃ εἰκάζεται ὅτι τὸ μετὰ τῶν πέντε ἀγαλμάτων ἵδρυμα, τὸ καὶ ἄλλως δαπανηρότερον ἢ κατὰ τοὺς Ἠλείους, ἐποιήθη τῷ Φιλίππῳ ὑπὸ Ἀλεξάνδρου οἷον ἡρῷον παρὰ τὸ Πελόπιον ἐν τῇ Ἄλτει (πρβ. καὶ τοὺς ἐν τῷ Μητρῴῳ ἀνδριάντας) ἢ ὡς ἀνάθημα καὶ εἰς ἔτι Θησαυρὸς ἐνταῦθα, μὴ ὑπάρχοντος χώρου παρὰ τοὺς ἄλλους. *Laloux* et *Monceaux* σελ. 111, *Adler* ἐν Erg. II σ. 128 ἑξ.

Μεταξὺ τοῦ Φιλιππείου καὶ τοῦ Πελοπίου ηὑρέθη ἄνω τμῆμα [1] βάθρου ἀνδριάντος (ἐφ' ἵππου) τοῦ ἐκ Λεοντίου τῆς Ἀχαΐας Καλλικράτους, τοῦ ἀπίστου πολιτικοῦ ἀνδρὸς τῆς Ἀχαϊκῆς συμπολιτείας, ὅστις τὰ τῶν Ρωμαίων φρονῶν, ὅτε ἀπεστάλη (μετὰ Λυδιάδου καὶ Ἀράτου [2]) πρεσβευτὴς εἰς Ρώμην περὶ τῶν φυγάδων, ἠργάσατο αὐτόθι (ἄνευ τῶν ἄλλων δύο) παρὰ τὴν ἐντολὴν τῶν Ἀχαιῶν καὶ αἱρεθεὶς μετὰ τὴν ἐπάνοδον στρατηγὸς τῷ 179 π. Χρ. κατήγαγε τοὺς ἐκ τῆς Λακεδαίμονος καὶ τοὺς ἐκ τῆς Μεσσήνης φυγάδας (Πολύβ. ΚϚ' 1-3 κλπ.)· περὶ τῶν ἀνδριάντων αὐτοῦ «εἰσφερομένων κατὰ σκότος, τῶν δὲ τοῦ Λυκόρτα κατὰ τὴν ἡμέραν ἐκφερομένων εἰς τὸ φῶς» Πολύβ. ΛΖ' 1 g· ὁ λίθος (ὑπόλευκος ἀσβεστόλιθος, ὕψ. 0·24, πλ. 0·87, πάχ. 1·59) φέρει ἐπιγραφὴν (ἀριθ. 498) τὴν ἑξῆς: «Λακε-

[1] Νῦν κεῖται 28 μ. πρὸς Ν. τοῦ Φιλιππείου.

[2] Ὁ Ἄρατος ἦτο υἱὸς τοῦ ὁμωνύμου στρατηγοῦ· ὁ Λυδιάδας ἦτο υἱὸς ἢ ἔκγονος τοῦ ὁμωνύμου στρατηγοῦ, πρβ. Β. Λεονάρδος ἐν Ἐφημ. Ἀρχαιολ. 1895 σελ. 263 ἑξ. (= *Dittenberger* Sylloge inscr. gr.² 230, *Michel* Recueil d'inscr. 1280).

δαιμονίων οἱ φυ[γ]όντες ὑπὸ τῶν τυράνν[ων] | Καλλικράτη Θεοξένου Λεοντήσιον, καταγαγόντα | είς τὰν πατρίδα καὶ διαλύσαντα ποτὶ τοὺς πολίτας | καὶ εἰς τὰν ἐξ ἀρχᾶς ἐ[οῦσαν] φιλ[ίαν ἀπο]κ[α]τασ[τ]άσαντα» (Erg. V 300). Τὸ βάθρον πάλαι ἔκειτο κατὰ Dörpfeld (ἐν Erg. II σ. 62) ἐπὶ τοῦ πρὸς ΒΔ. τοῦ Φιλιππείου ὑποβάθρου (*Purgold* ἐν Erg. II σ. 158).

## Πρυτανεῖον. [1]

Παυσαν. Ε΄ 15, 8-12: «τὸ πρυτανεῖον δὲ Ἠλείοις ἔστι μὲν τῆς Ἄλτεως ἐντός, πεποίηται δὲ παρὰ τὴν ἔξοδον [2] ἥ ἐστι τοῦ γυμνασίου πέραν . . . . πρυτανείου δὲ πρὸ μὲν τῶν θυρῶν βωμός ἐστιν Ἀρτέμιδος Ἀγροτέρας. 9 ἐν δὲ αὐτῷ τῷ πρυτανείῳ παριόντων ἐς οἴκημα ἔνθα σφίσιν ἡ ἑστία, Πανός ἐστιν ἐν δεξιᾷ τῆς ἐσόδου βωμός. ἔστι δὲ καὶ ἡ ἑστία τέφρας καὶ αὕτη πεποιημένη, καὶ ἐπ' αὐτῆς πῦρ ἀνὰ πᾶσάν τε ἡμέραν καὶ ἐν πάσῃ νυκτὶ ὡσαύτως καίεται. ἀπὸ ταύτης τῆς ἑστίας τὴν τέφραν κατὰ τὰ εἰρημένα ἤδη μοι [3] κομίζουσιν ἐπὶ τὸν τοῦ Ὀλυμπίου βωμόν, [4] καὶ οὐχ ἥκιστα ἐς μέγεθος συντελεῖ τῷ βωμῷ τὸ ἀπὸ τῆς ἑστίας ἐπιφορούμενον.

«10 Ἑκάστου δὲ ἅπαξ τοῦ μηνὸς θύουσιν ἐπὶ πάντων Ἠλεῖοι τῶν

[1] Πρύτανις, αἰολιστὶ πρότανις (καὶ ἐν ἀττικαῖς ἐπιγραφαῖς, οὐχὶ ψηφίσμασι, μεταξὺ 329 καὶ 285 π. Χρ. 8κις ἀπαντᾷ ο· πρβ. πρὸ, πρῶτος· καὶ ἐν Ἀριστοφ. Θεσμ. 936 ὑπὸ *W. Schulze* εἰκάζεται πρότανι κατὰ παράγραμμα πρβ. προτείνειν· *Meisterhans* Gramm. der att. Inschr.[3] σ. 24)· ἐνιαχοῦ, εἷς ἢ πλείονες, ἡ ἀνωτάτη τῆς πόλεως ἀρχή· ἐν Ἀθήναις δὲ ἔπειτα πρυτάνεις ἐλέγοντο οἱ ἐξ ἑκάστης κατὰ σειρὰν φυλῆς ἐπὶ ἕνα που μῆνα τὰ τῆς βουλῆς διευθύνοντες. Ἐν τῷ ἑκασταχοῦ πρυτανείῳ, τῇ κοινῇ τῆς πόλεως ἑστίᾳ, ἐλατρεύετο ἐν θαλάμῳ ἡ Ἑστία, παρὰ τὸν βωμὸν δὲ αὐτῆς ἐζήτουν ἄσυλον οἱ ἱκέται· ἐκ τοῦ ἐνταῦθα ἀσβέστου πυρὸς ἐλαμβάνετο καὶ τὸ εἰς τὰς ἀποικίας πῦρ· ἐν τῷ πρυτανείῳ καθ' ὅλου ἐσιτοῦντο οἱ ἐπιφανεῖς ξένοι καὶ οἱ εὐεργέται τῆς πόλεως.

[2] Ταύτην μνημονεύει ὁ Παυσανίας καὶ ἐν τοῖς περὶ Φιλιππείου (Ε΄ 20, 10): «τοῦτο τὸ οἴκημα ἔστι μὲν κατὰ τὴν ἔξοδον τὴν κατὰ τὸ Πρυτανεῖον ἐν ἀριστερᾷ», ἔχει δὲ αὕτη τὸ αὐτὸ τῇ πομπικῇ εἰσόδῳ σχῆμα καὶ εἶνε σύγχρονος αὐτῇ (πρβ. ἀνωτ. σελ. 163).

[3] Πρβ. Ε΄ 13, 11: «κατ' ἔτος δὲ ἕκαστον φυλάξαντες οἱ μάντεις τὴν ἐνάτην ἐπὶ δέκα τοῦ Ἐλαφίου μηνὸς κομίζουσιν ἐκ τοῦ πρυτανείου τὴν τέφραν, φυράσαντες δὲ τῷ ὕδατι τοῦ Ἀλφειοῦ κονιῶσιν οὕτω τὸν βωμὸν (δηλ. τοῦ Διός)», ἀνωτ. σελ. 232.

[4] Ἄλλα ὀνόματα τοῦ βωμοῦ τοῦ Διὸς ἀνωτ. σελ. 230.

κατειλεγμένων βωμῶν. θύουσι δὲ ἀρχαῖόν τινα τρόπον· λιβανωτὸν γὰρ ὁμοῦ πυροῖς μεμαγμένοις μέλιτι θυμιῶσιν ἐπὶ τῶν βωμῶν. τιθέασι δὲ καὶ κλῶνας ἐλαίας ἐπ' αὐτῶν, καὶ οἴνῳ χρῶνται σπονδῇ... μέλει δὲ τὰ ἐς τὰς θυσίας θεηκόλῳ τε, ὃς ἐπὶ μηνὶ ἑκάστῳ τὴν τιμὴν ἔχει, καὶ μάντεσι καὶ σπονδοφόροις, ἔτι δὲ ἐξηγητῇ τε καὶ αὐλητῇ καὶ τῷ ξυλεῖ. 11 ὁπόσα δὲ ἐπὶ ταῖς σπονδαῖς λέγειν σφίσιν ἐν τῷ Πρυτανείῳ καθέστηκεν, ἢ καὶ ὕμνους ὁποίους ᾄδουσιν, οὔ με ἦν εἰκὸς ἐπεισαγαγέσθαι καὶ ταῦτα ἐς τὸν λόγον· θεοῖς δὲ οὐ τοῖς Ἑλληνικοῖς μόνον, ἀλλὰ καὶ τῷ ἐν Λιβύῃ σπένδουσι καὶ Ἥρᾳ τε Ἀμμωνίᾳ καὶ Παράμμωνι· Ἑρμοῦ δὲ ἐπίκλησίς ἐστιν ὁ Παράμμων. φαίνονται δὲ χρώμενοι ἐκ παλαιοτάτου τῷ ἐν Λιβύῃ μαντείῳ, καὶ ἀναθήματα Ἠλείων ἐν Ἄμμωνός εἰσι βωμοί· γέγραπται δὲ ἐπ' αὐτῶν ὅσα τε ἐπυνθάνοντο οἱ Ἠλεῖοι, καὶ τὰ χρησθέντα ὑπὸ τοῦ θεοῦ, καὶ τὰ ὀνόματα τῶν ἀνδρῶν οἳ παρὰ τὸν Ἄμμωνα ἦλθον ἐξ Ἤλιδος. ταῦτα μὲν δή ἐστιν ἐν Ἄμμωνος· Ἠλεῖοι δὲ καὶ ἥρωσι καὶ γυναιξὶ σπένδουσιν ἡρώων, ὅσοι τε ἐν τῇ χώρᾳ τῇ Ἠλείᾳ καὶ ὅσοι παρὰ Αἰτωλοῖς τιμὰς ἔχουσιν. 12 Ὁπόσα δὲ ᾄδουσιν ἐν τῷ Πρυτανείῳ, φωνὴ μέν ἐστιν αὐτῶν ἡ Δώριος, ὅστις δὲ ὁ ποιήσας ἦν τὰ ᾄσματα, οὐ λέγουσιν. ἔστι δὲ καὶ ἑστιατόριον Ἠλείοις· καὶ τοῦτο ἔστι μὲν ἐντὸς τοῦ Πρυτανείου, τοῦ οἰκήματος τοῦ τῆς ἑστίας ἀπαντικρύ, τοὺς δὲ τὰ Ὀλύμπια νικῶντας ἑστιῶσιν ἐν τούτῳ τῷ οἰκήματι».

Τὸ πρυτανεῖον κεῖται ἐντὸς τῆς Ἄλτεως μεταξὺ τοῦ Ἡραίου καὶ τῆς ἀπαντικρὺ τοῦ γυμνασίου ἐξόδου τοῦ περιβόλου. Εἶνε δὲ τετράγωνον οἰκοδόμημα, ἔχον μῆκος ἐπὶ ἑκάστης πλευρᾶς περ. 32·80 (100 Ὀλ. πόδ.), ἤτοι ἐν ὅλῳ χῶρον ἑνὸς πλέθρου. Διῄρηται δὲ κυρίως εἰς βόρειον καὶ νότιον τμῆμα. Ἐν τῷ νοτίῳ ἔμπροσθεν (πρὸς Ν.) ἐν μέσῳ λείψανα μικροῦ τετραγώνου δωματίου (□ 6·80 μ.), τῆς ἑστίας, ὡς εἰκάζεται, ἐν ᾗ ἐκαίετο τὸ ἄσβεστον πῦρ. Ἡ κυρία εἴσοδος τοῦ οἰκοδομήματος ἦτο ἐν μέσῳ τῆς νοτίας πλευρᾶς, ἧς ἔμπροσθεν πρὸς νότον ἱδρύθη καὶ στοὰ ἐν Ρωμαϊκοῖς χρόνοις. Μετὰ τὴν εἴσοδον ἐξετείνετο κατὰ πλάτος ἐκ Δ. πρὸς Α. πρόδομος ἄγων πρὸς Β. μὲν ἐν μέσῳ εἰς τὴν ἑστίαν καὶ ἑκατέρωθεν εἰς αὐλήν, πρὸς Α. δὲ καὶ Δ. εἰς στοὰν χωροῦσαν πρὸς βορρᾶν. Ἐπὶ τῆς δυσμικῆς πλευρᾶς τοῦ οἰκοδομήματος ὑπῆρχον δωμάτια, ἔπειτα δὲ ἐν Ρωμαϊκοῖς χρόνοις καὶ τρίκλινον. Ἐν τοῖς εἰρημένοις δωματίοις, ὡς εἰκάζεται ἐκ τῶν

πολλῶν εὑρεθέντων χαλκωμάτων, οἷον τριπόδων, πινακίων καὶ ἄλλων ἐπιτραπεζίων καὶ μαγειρικῶν σκευῶν, ὑπῆρχε τὸ μαγειρεῖον· τὸ ὑπὸ Παυσανίου μνημονευόμενον ἑστιατόριον ἔκειτο ἐπὶ τῆς δυσμικῆς πλευρᾶς ἢ ἐν τῷ βορείῳ τμήματι τοῦ οἰκοδομήματος. Ἡ ἀνατολικὴ πλευρὰ εἰκάζεται ἀνάλογος τῇ ἀντιστοίχῳ δυσμικῇ, ἀλλ' ἦτο καὶ πρὸς Α. ἐν μέρει ἀνεῳγμένη (φέρουσα κίονας)· ἐν ταῖς πλευραῖς ταύταις λείψανα ψηφώματος ὑστέρων χρόνων.

Τὸ βόρειον τμῆμα εἶχεν ἐν μέσῳ μεταξὺ τῆς Α. καὶ τῆς Δ. πλευρᾶς εὐρεῖαν αὐλὴν φέρουσαν κατά γε τὰς τρεῖς πλευρὰς (Β. Δ. Ν.) κίονας, ὧν ἕκαστος σπόνδυλος ἢ δόμος ἀπετελεῖτο ἐκ δύο ἡμικυκλίων πλίνθων· κατὰ τὸ Α. τῆς αὐλῆς ταύτης δεξαμενὴ ἐκ πώρων λίθων. Ἐν Ρωμαϊκοῖς χρόνοις τὸ πρυτανεῖον ἐξετάθη πρὸς Β. καὶ Δ. Ὁ χρόνος τῆς ἱδρύσεως τοῦ πρυτανείου δὲν εἶναι ἀκριβῶς γνωστός· πιθανῶς τὸ οἰκοδόμημα ὅπως ἔχει ἐν τῷ προειρημένῳ τετραγώνῳ σχήματι, μὴ θεωρουμένων τῶν Ρωμαϊκῶν καὶ Βυζαντιακῶν μετασκευῶν, εἶνε σύγχρονον τῷ ναῷ τοῦ Διός· κατὰ δὲ τὴν δυσμικὴν πλευρὰν ἀπεκαλύφθησαν λείψανα ἀναγόμενα, ὡς εἰκάζεται, εἰς κτίσματα προγενεστέρων χρόνων.

Πρὸς Δ. τοῦ πρυτανείου εὕρηται βαθὺ φρέαρ,[1] ὅπερ ἄλλως τε καὶ εἰς τὰ ἐν τῷ πρυτανείῳ πιθανῶς ἦτο χρήσιμον.

## Θέρμαι.

Πρὸς ΒΑ. καὶ ΝΔ. τῆς παλαίστρας ἤχθησαν πρὸς φῶς διὰ τῶν ἀνασκαφῶν δύο Ρωμαϊκαὶ Θέρμαι.

Τῶν κτισμάτων τούτων τοῦ μὲν ἑτέρου, τοῦ πρὸς Β. τοῦ πρυτανείου, ἀπεκαλύφθη μέρος τοῦ μέσου καὶ δύο πλευραί. Εἴσοδος ἦτο

[1] Φρέατα ὑπάρχουσιν ἐν Ὀλυμπίᾳ 10, πάντα ἐκτὸς τῆς Ἄλτεως· καὶ τὰ μὲν εἶνε διὰ πώρων λίθων ἐκτισμένα, τὰ δὲ διὰ πλίνθων ὀπτῶν· ταῦτα δὲ εἶνε περιφερῆ ἐπενδεδυμένα δι' ἐπαλλήλων ὑψηλῶν κρίκων (κυλίνδρων κοίλων) συγκειμένων ἐκ τριῶν ἢ τεσσάρων καμπύλων πλίνθων (ὕψ. ὡς 0·70, πάχ. ὡς 0·04) συνδεδεμένων διὰ μολυβδίνων δεσμῶν, ἑνὸς δὲ φρέατος (πρὸς Β. τοῦ Ἡρῴου, διαμ. 0·97) ἡ περιφέρεια σύγκειται ἐξ αὐτοτελῶν κρίκων (ἕκαστος ἓν τεμάχιον τελείου κύκλου). Αἱ πλίνθοι ἔφερον ὀπὰς ἡμικυκλίους χρησίμους ἄλλως τε καὶ εἰς τὴν κατάβασιν τῶν καθαιρόντων τὰ φρέατα. Προστεθήτω ἐνθάδε ὅτι πρὸς διοχέτευσιν καὶ ἐκροὴν τῶν ἄλλων ἐν γένει ὑδάτων ἐν Ὀλυμπίᾳ ηὑρέθησαν περὶ τοὺς 120 ὀχετούς. *Graeber* ἐν Erg. II σ.170 ἑξ.

ἐν τῷ μέσῳ τῆς Δ. πλευρᾶς, ἐν τῷ μέσῳ δὲ τοῦ κτίσματος δεξαμενὴ μετὰ περιστυλίου. Τὸ ἔδαφος τῶν περὶ τὴν δεξαμενὴν στοῶν, ὧν ἀπεκαλύφθησαν ἡ νοτία καὶ ἡ δυσμική, κατέχεται ὑπὸ ψηφωμάτων μετὰ πλαισίων γεωμετρικοῦ σχήματος καὶ μαιάνδρου (νῦν κεκαλυμμένα χάριν προφυλάξεως)· καὶ τὸ μὲν τῆς νοτίας πλευρᾶς ψήφωμα εἰκονίζει Τρίτωνα πωγωνίαν (μεγέθους περ. $^{1}/_{2}$ τοῦ ἀνθρωπίνου) κρατοῦντα τρίαιναν τῇ ἀριστερᾷ καὶ ἐλαύνοντα ἐπὶ κυμάτων ἅρμα ἱπποκάμπων· διὰ δὲ τοῦ ψηφώματος τῆς δυσμικῆς πλευρᾶς παρίσταται Νηρηὶς ἐπὶ θαλασσίου βοὸς πρὸς ἀριστερὰ θέοντος, κάθηται δὲ οὕτως, ὥστε φαίνονται αὐτῆς τὰ νῶτα, καὶ στρέφεται τὴν κεφαλὴν πρὸς τὴν κεφαλὴν τοῦ βοός, οὗ καὶ κρατεῖ τὸ ἀριστερὸν κέρας διὰ τῆς ἀριστερᾶς. Τὸ οἰκοδόμημα μετὰ τῶν ψηφωμάτων ἀνάγεται εἰς τοὺς χρόνους τοῦ Νέρωνος (πρβ. ἀνωτ. σελ. 198). Αἱ Θέρμαι αὗται πιθανῶς ἀνήκουσιν εἰς τὰς τῶν ἀθλητῶν οἰκήσεις, αἵτινες τίθενται κατὰ τὸ Β. καὶ ΒΔ. τοῦ οἰκοδομήματος τούτου (Παυσ. ϛ′ 21, 2 «τῆς στοᾶς δὲ τῆς πρὸς ἀνίσχοντα ἥλιον τοῦ γυμνασίου [ἀνωτ. σελ. 146 ἑξ.] προσεχεῖς τῷ τοίχῳ τῶν ἀθλητῶν εἰσὶν αἱ οἰκήσεις, ἐπί τε ἄνεμον τετραμμέναι Λίβα καὶ ἡλίου δυσμάς», *Flasch* Olympia σελ. 1104 P, *Frazer* Pausan. ϛ′ 21, 2).

Τῶν δὲ ἄλλων Θερμῶν, τῶν παρὰ τὴν ἀριστερὰν ὄχθην τοῦ Κλαδάου πρὸς Δ. τοῦ Ἡρῴου, ἀπεκαλύφθησαν τὰ πρὸς Ν. καὶ Δ. ὅρια καί τινα δωμάτια. Τὸ πρὸς ΒΑ. μέγα δωμάτιον φέρει ψηφωτὸν τὸ δάπεδον· τὸ πρὸς Δ. αὐτοῦ δωμάτιον ὑποτίθεται ὡς ἀποδυτήριον, ἐν ἄλλοις δὲ ἦσαν τὰ θερμὰ λουτρὰ μετὰ δεξαμενῶν κλπ.· οἱ κιονίσκοι τῶν ὑποκαύστων συνέκειντο ἐκ πηλίνων δίσκων διαμέτρου 0·21.

Ἐπὶ τοῦ ἀσκάφου μέρους τοῦ γυμνασίου κεῖται νῦν, μετενηνεγμένος ἐκ τῆς Ἄλτεως, κορμὸς ὑπερμεγέθους μαρμαρίνου ἀγάλματος, πιθανῶς τοῦ Αὐγούστου (ἀνωτ. σελ. 229 ἑξ.).

Περὶ τῶν οἰκήσεων τῶν ἀθλητῶν (Παυσαν. ϛ′ 21, 2) ἰδὲ ὀλίγῳ ἀνωτέρω ἐνθάδε.

Πρὸς δυσμὰς τοῦ Κλαδάου (καταντικρύ που τοῦ γυμνασίου) ἔκειτο ὁ τάφος Οἰνομάου τοῦ βασιλέως, ὑψηλότερον δὲ (κατὰ τοὺς πρόποδας

τοῦ λόφου, ἐφ' οὗ τὸ νῦν χωρίον Δρούβα) ἡ ἱππόστασις τοῦ Οἰνομάου· περὶ τούτων ὁ Παυσανίας λέγει (ϛ' 21, 3): «διαβάντων δὲ τὸν Κλάδεον τάφος τε Οἰνομάου γῆς χῶμα περιῳκοδομημένον λίθοις ἐστί, καὶ ὑπὲρ τοῦ μνήματος ἐρείπια οἰκοδομημάτων ἔνθα τῷ Οἰνομάῳ τὰς ἵππους αὐλίζεσθαι λέγουσιν». Περὶ τῆς ἐν τῇ Ἄλτει οἰκίας τοῦ Οἰνομάου ὅρα ἀνωτ. σελ. 186-7, 253[1].

---

Μετὰ ταῦτα ὁ Παυσανίας (ϛ' 21, 3 ἑξ.) ἀναγράφει τὰ περὶ ὁρίων Ἀρκαδίας καὶ Ἠλείας βαίνων ἀπὸ Ἡραίας εἰς Ὀλυμπίαν (πρβ. Ε' 7, 1, Η' 26, 3). Μετὰ τὴν διάβασιν τοῦ Ἐρυμάνθου ποταμοῦ ἐπὶ τῆς δεξιᾶς ὄχθης τοῦ Ἀλφειοῦ μνημονεύει τὴν δειράδα τοῦ Σαύρου (πρὸς Δ. τοῦ νῦν χωρίου ὅπερ καλεῖται Ἄσπρα-σπίτια), πρὸς ἄλλοις δὲ δυσμικώτερον ἐπὶ τῆς δεξιᾶς ὡσαύτως ὄχθης τοῦ Ἀλφειοῦ κατὰ τὴν πρὸς Δ. καμπὴν αὐτοῦ (πρὸς Δ. τοῦ 1 $^{40}/_{60}$ ὥρ. ἀπ' Ὀλυμπίας ἀπέχοντος νῦν χωρίου ὃ καλεῖται ἡ Μουριὰ) ὁ ἀρχαῖος περιηγητὴς ἀναφέρει Παρθενίαν ποταμόν, καταρρέοντα ἀπὸ βορρᾶ ἐκ τῆς Φολόης τοῦ ὄρους καὶ ἐμβάλλοντα εἰς τὸν Ἀλφειόν,[2] ἔτι δὲ δυσμικώτερον ὡσαύτως ῥέοντα καὶ ἐμβάλλοντα τὸν Ἁρπινάτην καὶ οὐ πολὺ ἀπὸ τούτου ἐρείπια πόλεως Ἁρπίνης.[3] Ἄρχεται δὲ τῆς ἀναγραφῆς ὡς ἑξῆς (ϛ' 21, 3): «ὅροι δὲ πρὸς Ἀρκάδας τῆς χώρας, τὰ μὲν παρόντα Ἠλείοις, τὰ δὲ ἐξ ἀρχῆς οἱ αὐτοὶ Πισαίοις καθεστήκεσαν ἀνέχοντες κατὰ τάδε».

Εὐθὺς δὲ κατωτέρω (ϛ' 21, 3-8): «Διαβάντων ποταμὸν Ἐρύμανθον κατὰ τὴν Σαύρου καλουμένην δειράδα τοῦ Σαύρου τε μνῆμα καὶ ἱερόν ἐστιν Ἡρακλέους, ἐρείπια ἐφ' ἡμῶν. λέγουσι δὲ ὡς ὁδοιπόρους τε καὶ τοὺς προσοικοῦντας ὁ Σαῦρος ἐκακούργει, πρὶν ἢ παρὰ

[1] Ἀνωτ. σελ. 253 σημ. 1 στ. 2 γρ. ἐν ἀριστερᾷ τῷ.

[2] Καταντικρὺ ἐπὶ τῆς ἀριστερᾶς ὄχθης τοῦ Ἀλφειοῦ ἔκειτο ἡ πόλις Φρίξα ἐπὶ κωνικῷ λόφῳ ὑψηλῷ (ὕψ. ὑπὲρ τὴν θάλασσαν 305 μ.) παρὰ τὸ νῦν χωρίον Παλαιοφάναρον.

[3] Πρβ. Στράβ. 357: «παρὰ δὲ τὴν Ὀλυμπίαν ἐστὶ καὶ ἡ Ἅρπινα, καὶ αὕτη τῶν ὀκτὼ (δηλ. πόλεων τῆς Πισάτιδος), δι' ἧς ῥεῖ ποταμὸς Παρθενίας ὡς εἰς Ἡραίαν ἰόντων». Ἡ Ἅρπιν(ν)α κατὰ Λουκιανὸν (Περεγρ. 35, ἀνωτ. σ.130) ἀπεῖχε (πρὸς Α.) τῆς Ὀλυμπίας εἴκοσι σταδίους.

Ἡρακλέους τὴν δίκην ἔσχε. 4 κατὰ ταύτην τὴν ἐπώνυμον τοῦ ληστοῦ δειράδα ὁ ποταμὸς ἀπὸ μεσημβρίας κατιὼν ἐς τὸν Ἀλφειὸν καταντικρὺ τοῦ Ἐρυμάνθου μάλιστα, οὗτός ἐστιν ὁ τὴν Πισαίαν πρὸς Ἀρκάδας διορίζων, ὄνομα δέ οἱ Διάγων. τεσσαράκοντα δὲ ἀπὸ τῆς Σαύρου δειράδος προελθόντι στάδια ἔστιν Ἀσκληπιοῦ ναός, ἐπίκλησιν μὲν Δημαινέτου ἀπὸ τοῦ ἱδρυσαμένου, ἐρείπια δὲ καὶ αὐτός· ᾠκοδομήθη δὲ ἐπὶ τοῦ ὑψηλοῦ παρὰ τὸν Ἀλφειόν. 5 τούτου δὲ οὐ πόρρω ἱερὸν Διονύσου Λευκυανίτου πεποίηται, καὶ ποταμὸς παρέξεισι ταύτῃ Λευκυανίας· ἐκδίδωσι μὲν οὖν καὶ οὗτος ἐς τὸν Ἀλφειόν, κάτεισι δὲ ἐκ Φολόης τοῦ ὄρους. Διαβήσει τε δὴ τὸ ἀπὸ τούτου τὸν Ἀλφειόν, καὶ ἐντὸς γῆς ἔσει τῆς Πισαίας.

«6 Ἐν ταύτῃ τῇ χώρᾳ λόφος ἐστὶν ἀνήκων ἐς ὀξύ, ἐπὶ δὲ αὐτῷ πόλεως Φρίξας ἐρείπια καὶ Ἀθηνᾶς ἐστὶν ἐπίκλησιν Κυδωνίας ναός. οὗτος μὲν οὐ τὰ πάντα ἐστὶ σῶς, βωμὸς δὲ καὶ ἐς ἐμὲ ἔστιν· ἱδρύσασθαι δὲ τῇ θεῷ τὸ ἱερὸν Κλύμενόν φασιν, ἀπόγονον Ἡρακλέους τοῦ Ἰδαίου (ἀνωτ. σελ. 15), παραγενέσθαι δὲ αὐτὸν ἀπὸ Κυδωνίας τῆς Κρητικῆς καὶ τοῦ Ἰαρδάνου[1] ποταμοῦ. λέγουσι δὲ καὶ Πέλοπα οἱ Ἠλεῖοι τῇ Ἀθηνᾷ θῦσαι τῇ Κυδωνίᾳ πρὶν ἢ ἐς τὸν ἀγῶνα αὐτὸν τῷ Οἰνομάῳ καθίστασθαι. 7 Προϊόντι δὲ ἐντεῦθεν τό τε ὕδωρ τῆς Παρθενίας ἐστὶ καὶ πρὸς τῷ ποταμῷ τάφος ἵππων τῶν Μάρμακος. Ἱπποδαμείας δὲ μνηστῆρα ἔχει λόγος ἀφικέσθαι πρῶτον τοῦτον Μάρμακα, καὶ ἀποθανεῖν ὑπὸ τοῦ Οἰνομάου πρὸ τῶν ἄλλων, ὀνόματα δὲ αὐτοῦ ταῖς ἵπποις Παρθενίαν τε εἶναι καὶ Ἐρίφαν, Οἰνόμαον δὲ ἐπικατασφάξαι μὲν τὰς ἵππους τῷ Μάρμακι, μεταδοῦναι μέντοι καὶ ταύταις ταφῆναι· καὶ ὄνομα Παρθενίας τῷ ποταμῷ ἀπὸ ἵππου τῆς Μάρμακος. 8 ἔστι δὲ καὶ ἄλλος Ἁρπινάτης καλούμενος ποταμός, καὶ οὐ πολὺ ἀπὸ τοῦ ποταμοῦ πόλεως Ἁρπίνης ἄλλα τε

[1] Πρβ. Ὅμηρ. Ὀδ. γ 291 ἑξῆς:

ἔνθα διατμήξας τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῇ Γόρτυνος, ἐν ἠεροειδέϊ πόντῳ . . .

Πρβ. καὶ τὸν ἐν Ἠλείᾳ ποταμὸν Ἰάρδανον. Τὸ ὄνομα εἶνε ταὐτὸν τῷ σημιτικῷ Ἰορδάνης, τεκμήριον τῆς μετὰ τῶν Φοινίκων ἐπιμιξίας. Πρβ. Παυσ. Ε′ 7, 4, *Frazer* Paus. IV σελ. 94.

ερείπια καὶ μάλιστα οἱ βωμοί· οἰκίσαι δὲ Οἰνόμαον τὴν πόλιν καὶ θέσθαι τὸ ὄνομα ἀπὸ τῆς μητρὸς λέγουσιν Ἁρπίνης».

Οὐχὶ δὲ πολὺ πρὸς δυσμὰς ἔκειτο τὸ μνῆμα τῶν ὑπὸ τοῦ Οἰνομάου φονευθέντων μνηστήρων τῆς Ἱπποδαμείας (ὅρα τὸν μῦθον κατωτ. ἐν τοῖς περὶ τοῦ ἀνατολικοῦ ἀετώματος τοῦ ναοῦ τοῦ Διός)· περὶ τούτου ὁ Παυσανίας (ς΄ 21, 9-11) λέγει: «προελθόντι δὲ οὐ πολὺ γῆς χῶμά ἐστιν ὑψηλόν, τῶν μνηστήρων τῶν Ἱπποδαμείας τάφος. Οἰνόμαον μὲν οὖν ἐγγὺς ἀλλήλων κρύπτειν γῇ φασὶν οὐκ ἐπιφανῶς αὐτούς· Πέλοψ δὲ ὕστερον μνῆμα ἐν κοινῷ σφίσιν ἐπὶ μέγα ἐξῆρε τιμῇ τῇ ἐς αὐτοὺς καὶ Ἱπποδαμείας χάριτι, δοκεῖν δέ μοι καὶ ὑπόμνημα ἐς τοὺς ἔπειτα ὅσων τε καὶ οἵων τὸν Οἰνόμαον κρατήσαντα ἐνίκησεν αὐτός. 10 Ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος,[1] δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον· ἀπόγονον δὲ αὐτὸν εἶναι καὶ ὁμώνυμον Τρικολώνῳ τῷ Λυκάονος λέγουσιν οἱ Ἀρκάδες. 11 Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον. οἱ δὲ καὶ ἐπαριθμοῦσι τοῖς κατειλεγμένοις Ἐρύθραν παῖδα Λεύκωνος τοῦ Ἀθάμαντος, ἀπὸ τούτου Ἐρυθραὶ πόλισμα ἐκαλεῖτο Βοιωτῶν, καὶ Ἠϊονέα Μάγνητος τοῦ Αἰόλου. τούτοις μὲν δὴ ἐνταῦθά ἐστι τὸ μνῆμα, καὶ τὸν Πέλοπα, ἡνίκα τῶν Πισαίων ἔσχε τὴν ἀρχήν, φασὶν ἐναγίζειν αὐτοῖς ἀνὰ πᾶν ἔτος». Τὸ ὑψηλὸν τοῦτο γῆς χῶμα ὑποτίθεται ὅτι εἶνε λοφίσκος κείμενος περ. 25΄ τῆς ὥρας πρὸς Α. τῆς Ὀλυμπίας παρὰ τὴν δεξιὰν ὄχθην τοῦ Ἀλφειοῦ ἐν δεξιᾷ τῆς εἰς Ἀρκαδίαν ὁδοῦ (πρὸς ΝΑ. τοῦ νῦν χωρίου Μιράκα, ἀπέχοντος 40΄ τῆς ὥρας ἀπὸ τῆς Ὀλυμπίας).

Μετὰ τὰ περὶ τοῦ μνήματος τῶν μνηστήρων ὁ Παυσανίας βαίνων ἐξ ἀνατολῶν πρὸς τὴν Ὀλυμπίαν γράφει (ς΄ 22, 1-4): «προελθόντι

[1] Πρβ. Παυσ. ς΄ 20, 17, ἀνωτ. σελ. 213.

δὲ ὅσον τε στάδιον ἀπὸ τοῦ τάφου σημεῖά ἐστιν ἱεροῦ Κορδάκας ἐπίκλησιν Ἀρτέμιδος, ὅτι οἱ τοῦ Πέλοπος ἀκόλουθοι τὰ ἐπινίκια ἤγαγον παρὰ τῇ θεῷ ταύτῃ καὶ ὠρχήσαντο ἐπιχώριον τῆς περὶ τὸν Σίπυλον κόρδακα ὄρχησιν. τοῦ ἱεροῦ δὲ οὐ πόρρω οἴκημά τε οὐ μέγα καὶ κιβωτός ἐστιν ἐν αὐτῷ χαλκῆ· ὀστᾶ τὰ Πέλοπος ἐν τῇ κιβωτῷ φυλάσσονται (πρβ. Ε΄ 13, 4 ἑξ., ἀνωτ. σελ. 251[1]). τείχους δὲ ἢ ἄλλου κατασκευάσματος ἐλείπετο οὐδὲν ἔτι, ἄμπελοι δὲ ἦσαν διὰ τοῦ χωρίου πεφυτευμέναι παντός, ἔνθα ἡ Πίσα ᾠκεῖτο. 2 οἰκιστὴν μὲν δὴ γενέσθαι τῇ πόλει Πίσον τὸν Περιήρους φασὶ τοῦ Αἰόλου· Πισαῖοι δὲ ἐφειλκύσαντο αὐθαίρετον συμφορὰν ἀπεχθανόμενοί τε Ἠλείοις καὶ σπουδὴν ποιούμενοι τιθέναι τὸν Ὀλυμπικὸν ἀγῶνα ἀντὶ Ἠλείων, οἵγε ὀλυμπιάδι μὲν τῇ ὀγδόῃ[2] τὸν Ἀργεῖον ἐπηγάγοντο Φείδωνα τυράννων τῶν ἐν Ἕλλησι μάλιστα ὑβρίσαντα, καὶ τὸν ἀγῶνα ἔθεσαν ὁμοῦ τῷ Φείδωνι. Τετάρτῃ δὲ ὀλυμπιάδι καὶ τριακοστῇ (644 π. Χρ.) στρατὸν οἱ Πισαῖοι καὶ βασιλεὺς αὐτῶν Πανταλέων ὁ Ὀμφαλίωνος[3] παρὰ τῶν προσχώρων ἀθροίσαντες ἐποίησαν ἀντὶ Ἠλείων τὰ Ὀλύμπια. 3 Ταύτας τὰς ὀλυμπιάδας καὶ ἐπ᾽ αὐταῖς τὴν τετάρτην τε καὶ ἑκατοστὴν (364 π. Χρ.), τεθεῖσαν δὲ ὑπὸ Ἀρκάδων, ἀνολυμπιάδας οἱ Ἠλεῖοι καλοῦντες οὐ σφᾶς ἐν καταλόγῳ τῶν ὀλυμπιάδων γράφουσιν. ὀγδόῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα ὀλυμπιάδι (588 π. Χρ.) Δαμοφῶν ὁ Πανταλέοντος ὑπόνοιαν μέν τινα παρέσχεν Ἠλείοις νεώτερα ἐς αὐτοὺς βουλεύειν, ἐσβαλόντας δὲ ἐς τὴν Πισαίαν σὺν ὅπλοις ἀπελθεῖν οἴκαδε ἀπράκτους ἔπεισε δεήσεσί τε καὶ ὅρκοις. 4 Πύρρου δὲ τοῦ Πανταλέοντος μετὰ Δαμοφῶντα τὸν ἀδελφὸν βασιλεύσαντος Πισαῖοι πόλεμον ἑκούσιον ἐπανείλοντο Ἠλείοις. συναπέστησαν δέ σφισιν ἀπὸ Ἠλείων Μακίστιοι καὶ Σκιλλούντιοι, οὗτοι μὲν ἐκ τῆς Τριφυλίας, τῶν δὲ ἄλλων περιοίκων Δυσπόντιοι. τούτοις καὶ μάλιστα ἐς τοὺς Πισαίους οἰκεῖα ἦν, καὶ οἰκιστὴν Δυσποντέα γενέσθαι σφίσιν Οἰνομάου παῖδα ἐμνημόνευον. Πισαίους μὲν δὴ καὶ ὅσοι τοῦ πολέμου Πισαίοις μετέσχον, ἐπέλαβεν ἀναστάτους ὑπὸ Ἠλείων γενέσθαι» (πρβ. Παυσ. Ε΄ 10, 2, ἀνωτ. σελ. 183).

[1] Σελ. 251 σημ. 3 στ. 4 γρ. ἡ Δ. ἔξω ἑαυτῆς οὖσα ὑπὸ λ.

[2] Τῷ 748 π. Χρ. Ὑπό τινων γράφεται «ὀγδόῃ καὶ εἰκοστῇ» (668 π. Χρ., πρβ. Ἀφρικανὸν καὶ ἀνωτ. σελ. 19).

[3] Πρβ. καὶ ἀνωτ. σελ. 208, 1.

Ἡ Πῖσα ἀπεῖχεν ἓξ σταδίους πρὸς Α. τῆς Ὀλυμπίας, τίθεται δὲ πρὸς Ν. τοῦ νῦν χωρίου Μιράκα, ὅπου καὶ τάφοι ηὑρέθησαν καὶ ἴχνη ἀρχαίας ὁδοῦ καὶ λείψανά τινα θεμελίων καὶ ἰδίᾳ κατὰ τὴν θέσιν «Φραγκονήσι» πρὸς Β. τῆς εἰς Ἀρκαδίαν ὁδοῦ (πρὸς Α. τοῦ εἰς τὸν Ἀλφειὸν ἐμβάλλοντος ρεύματος τοῦ εἰρημένου χωρίου· πρβ. ἀνωτ. σελ. 137)· πρὸς ΝΔ. τοῦ χωρίου μονήρης λόφος, ἴσως ἡ ἀκρόπολις· πρὸς Β. καὶ Δ. τούτου ἀρχαῖα λείψανα (πρβ. ἀνωτ. σελ. 16 σημ. 1, Σχολ. Πινδάρου Ὀλ. ΙΑ΄ 51, Α΄ 28, Ἡρόδοτ. Β΄ 7, Στράβ. 356, *Curtius* und *Adler* Olympia und Umgegend σελ. 17, *Frazer* Paus. IV σελ. 95).

Παρακατιὼν ὁ Παυσανίας ἐν τοῖς τελευταίοις κεφαλαίοις τοῦ 6ου βιβλίου ἀναγράφει τὰ τῆς Ἤλιδος.

ΤΑ ΕΝ ΤΩι ΜΟΥΣΕΙΩι ΑΡΧΑΙΑ[1]

**Διάγραμμα τοῦ Μουσείου.**




| | |
|---|---|
| Α Β Γ Δ Ε | *αἴθουσαι τῆς ἀνατολικῆς πτέρυγος.*[2] |
| Ι Η Θ Κ | *αἴθουσαι τῆς δυσμικῆς πτέρυγος.* |
| Μ | *πρόδομος.* |
| Ν | *ἀνατολικὸν ἀέτωμα τοῦ ναοῦ τοῦ Διός.* |
| Ξ | *δυσμικὸν ἀέτωμα τοῦ ναοῦ τοῦ Διός.* |
| Ο Ο Ο Ο | *μετόπαι τοῦ ναοῦ τοῦ Διός.* |
| Π | *Νίκη Παιωνίου.* |
| Ρ | *Ἑρμῆς Πραξιτέλους.* |
| Σ | *χαλκοθήκη.* |

[1] Τὰ ἐν τῷ μουσείῳ ἀρχαῖα ἐδημοσιεύθησαν τῷ 1895 ἐν ἰδίᾳ ἀναγραφῇ μετὰ διαγράμματος τοῦ μουσείου κατὰ τὸ παρὰ *Bädeker*, δημοσιεύονται δὲ καὶ ἐνθάδε μετά τινων προσθηκῶν.

[2] Ἐν τῇ Α αἰθούσῃ ἀπόκεινται ἀρχιτεκτονικὰ πήλινα.

Τὰ ἐν τῷ Μουσείῳ τῆς Ὀλυμπίας ἀποκείμενα ἀρχαῖα προέρχονται ἐκ τῶν Γερμανικῶν ἀνασκαφῶν (ἀνωτ. σελ. 139 ἑξ.).

Περὶ τῶν διευθυνάντων τὰς ἀνασκαφὰς ταύτας ἰδὲ ἀνωτ. σ. 144.

Πρῶτοι ἔφοροι Ὀλυμπίας ἦσαν, ὡς εἴρηται (ἀνωτ. σ. 144 ἑξ.), οἱ ἀδελφοὶ Ἀθανάσιος καὶ Κωνσταντῖνος Δημητριάδαι. Τῷ 1887 μετετέθη εἰς Ὀλυμπίαν ὁ γράφων Βασίλειος Ἰωάννου Λεονάρδος. Τῇ 1ῃ δεκεμβρίου 1895 διωρίσθη ἔφορος Ὀλυμπίας ὁ Δημήτριος Σπυρίδωνος Σταυρόπουλλος. Τῇ 13ῃ ἰουνίου 1901 διωρίσθη ἔφορος Ὀλυμπίας ὁ Κωνσταντῖνος Μιχαὴλ Κουρουνιώτης.[1]

Τὸ μουσεῖον ᾠκοδομήθη κατὰ διαγράμματα τῶν Γερμανῶν καθηγητῶν Adler καὶ Dörpfeld τῷ 1886 δαπάναις τοῦ ἀοιδίμου Ἀνδρέου Συγγροῦ,[2] ἐφ' ᾧ καὶ ἐχαράχθη ἐπὶ τοῦ ἐπιστυλίου τῆς προσόψεως τὸ «Σύγγρειον».

Ἡ εἴσοδος τοῦ μουσείου φέρει δωρικὸν ρυθμὸν (οἱ δύο κίονες κατὰ τὸ σχέδιον τῶν τοῦ ναοῦ τοῦ Διός). Τὸ ἐσωτερικὸν διαιρεῖται εἰς τοὺς ἑξῆς κυρίους χώρους: εἰς τὸν πρόδομον, εἰς τὴν μεγάλην κεντρικὴν αἴθουσαν (ἐν ᾗ ἱδρύθησαν τὰ ἀγάλματα καὶ ἀνάγλυφα τοῦ ναοῦ τοῦ Διὸς καὶ ἡ Νίκη), εἰς τὴν αἴθουσαν τοῦ Ἑρμοῦ[3] καὶ εἰς δύο πλαγίας πτέρυγας. Ἐνθάδε τὰ ἀρχαῖα καταγράφονται ὡς ἑξῆς: 1) τὰ ἐν τῇ μεγάλῃ αἰθούσῃ, 2) ὁ Ἑρμῆς, 3) τὰ ἐν τῇ ἀνατολικῇ πτέρυγι, 4) τὰ ἐν τῷ προδόμῳ, 5) τὰ ἐν τῇ δυσμικῇ πτέρυγι, 6) ἐν βραχυτέροις τὰ ἐν τῇ χαλκοθήκῃ.

## Μεγάλη αἴθουσα.

Αὕτη ἔχει μῆκος ἴσον πρὸς τὸ πλάτος τοῦ ναοῦ τοῦ Διός· ἐγένετο δὲ οὕτω, ἵνα ὑπάρχῃ ἀνάλογος χῶρος πρὸς ἐπανίδρυσιν τῶν ἐναιετίων (ἤτοι τῶν ἐν τοῖς ἀετώμασι) ἀγαλμάτων τοῦ ναοῦ. Καὶ ἐν ἀριστερᾷ μὲν τῷ εἰσερχομένῳ ἀνιδρύθησαν τὰ ἀγάλματα τοῦ ἀνατολικοῦ

